Ἄρχοντος ἐν Δελφοῖς Εὐδώρου μηνὸς Εἰλαίου, ἐν δὲ Ἀμφίσσαι ἄρ[χ]οντος Ἀγκώπου μηνὸς Ἀμῶνος, ἀπέδοτο Ἀριστομήδης Ἀντιγένε[ος] Ἀμφισσεύς, συνευδοκέοντος καὶ τοῦ υἱοῦ Χαιρεδάμου, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Καλλ(ι)κράτεια ἐνδογενῆ, καθὼς ἐπίστευ[σ]ε Καλλικρά-

---

[1]) Durch Hesychios sind uns die *Λαφριάδαι* (·*φρατρία ἐν Δελφοῖς*) bekannt, die auf *Λάφριος*, den Enkel des Kastalios, sich bezogen.

τεια τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀ|πὸ πάντων τὸν πάντα βίον ποιοῦσαν ὅ κα θέλη, τιμᾶς ἀργυρίου μνᾶς, καὶ τὰν τιμὰν | ἔχει πᾶσαν. βεβαιωτῆρες κατὰ τὸ σύμβολον· Χαιρέδαμος Ἀριστομήδεος Ἀμφισσεὺς καὶ Εὐάγγελος Πάτρωνος Δελφός. μὴ κυρία δὲ ἔστω Καλλικράτεια ἀπαλλοτριώουσα τὰ ὑπάρχοντα εἰ ἀγενὴς μεταλλάξαι τὸμ βίον, μηδὲ τὰ ἐκ ταύτας τέκνα || εἰ ἀγενῆ μεταλλάξαιεν τὸμ βίον. μάρτυροι· ὁ ἱερεὺς Ἀνδρόνικος καὶ ὁ ἄρχων Εὐκλῆς Καλλιστράτου, ἰδιῶται Κλέων Δαμοσθένεος, Μενέστρατος, Θεόφιλος Σωσιγένεος, Χαρίξενος Ἀστί|α, Σωσιγένης Εὐθυμίδα Δελφοί.

Z. 4 Stein ΚΑΛΛΚΡ°.

Zeit (Siehe Anhang). Priesterschaft VI (etwa 150—140). Nur ein Priester ist genannt, *Ἀνδρόνικος* (Z. 10); er gehört den Priesterschaften V—VII an. Da aber 1684 mit 1685 und 1686 auf einem Polygon steht, ist Priesterschaft VI wahrscheinlich.

1685 *W.-F.* 20. C. v. B.

Ἄρχοντος Θρασυκλέος μηνὸς Ἡρακλήου, ἀπέδοτο Ἄθαμβος Ἀθανίωνος τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα γυναικεῖον ἇι ὄνομα Ἁρμοδίκα τὸ γένος ἐξ Ἐλατείας, τιμᾶς ἀργυρίου μνᾶν ἕξ, καὶ τὰν τιμὰν | ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Ἁρμοδίκα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος | ἀπὸ πάντων τὸμ πάντα χρόνον ποιέουσα ὅ κα θέλη καὶ ἀποτρέχουσα οἷς κα θέλη. βεβαιωτῆρες κατὰ τὸν || νόμον τᾶς πόλιος· Ἀντιχάρης Ἀζαράτου, Φιλόδαμος Χάρητος. εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισσμῶι Ἁρμοδίκας, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ [τ]ε ἀποδόμενος Ἄθαμβος καὶ οἱ βεβαιωτῆρες Ἀντιχάρης, Φιλόδαμος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντε[ς] κύριοι ἐόντων συλέοντες Ἁρμοδίκαν ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας κα[ὶ] ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας, Ἀν|δρόνικος καὶ τῶν ἀρχόντων Δεξώνδας καὶ ἰδιῶται [Θ]εύξενος, Φίλαγρος, Ἄσανδρος, Σωκράτης, Μενεκράτης.

Z. 1 *Ἡρακλήου* (so!). — *W.-F.* Z. 5 nur °*δουλισμῶι*. — 6 *ὅ τε* voll. — 7 *παρατυγχάνον*[*τες*]. — 8 *καὶ ζαμίας* voll. — 9 nach *ἰδιῶται* Bruch, dann ΕΥΞ°; es braucht nichts zu fehlen: entweder *Εὔξενος* oder mit *W.-F.* [Θ]*εύξενος*.

Zeit. Priesterschaft VI (etwa 150—140).

1686 *W.-F.* 21. C. v. B.

Ἄρχοντος Σωξένου μηνὸς Ἐνδυσποιτροπίου, βουλευόντων τὰν δευτέραν ἑξάμηνον Λαιάδα τοῦ Βαβίλου, | Ἀντιγένεος τοῦ Διοδώρου, γραμματεύοντος δὲ Ἡρακλείδα τοῦ Καλλία, ἐπὶ τοῖσδε ἀπέδοτο Πολύα Φιλί|νου, συνευδοκεούσας καὶ τᾶς θυγατρὸς αὐτᾶς Ἡραΐδος καὶ τοῦ υἱοῦ Πολυτιμίδα καὶ Ἐρασίππου τοῦ | τᾶς θυγατέρος υἱοῦ Ἀριστοῦς καὶ Φιλοκράτεος, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Κασταλία τὸ γένος Σύραν, τιμᾶς ἀργυρίου μνᾶν τεττάρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, κα θὼς ἐπίστευσε Κασταλία τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν | πάντα χρόν[ο]ν ποιέουσα ὅ κα θέλη καὶ ἀποτρέχουσα οἷς κα θέλη. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πό|λιος· Ἀστόξενος Διονυσίου. εἰ δέ τις ἐφάπτοιτο Κασταλίας ἐπὶ καταδουλισσμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀποδόμενοι καὶ ὁ βεβαιωτὴρ Ἀστόξενος· εἰ δὲ μὴ παρέχο[ι]ν βέβαιον τῶι θε|ῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόν|των συλέοντες Κασταλίαν ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρ|τυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας, Ἀνδρόνικος καὶ οἱ ἄρχοντες Λαιάδας, Ἀντιγένης, Ἡρακλείδας καὶ ἰδι|ῶται Ἐμμενίδας Δεξικράτεος, Ἄθαμβος Ἀβρομάχου, Πεισί(σ)τρατος Βούλωνος, Σώξενος Ἐχεφύλου, Ἀρίστων Δα|μοφάνεος, Ἀτεισίδας Ξένωνος, Πασίων Σωτάδα, Εὐκράτης Ξενοφάντου, Εὐκράτης Χαρία, Τίμανδρος Με|νάνδρου Λιλαιεῖς, Αὐτοκράτης Ἀγασέα Δαυλιεύς.

W.-F. Z. 4 Ἀ[ρ]ιστοῦς. — 6 τὸ[ν], aber das ν ist noch da; es steht ein klein Stück weiter hin. — 7 χρόνον voll. — 8 nur °δουλισμῶι. — 9 παρέχ[οιν]. — 13 Stein ΠΕΙΣΙΤΡ°, also Σ vergessen und nicht über der Zeile nachgetragen.

Zeit: Priesterschaft VI (etwa 150—140).

1687 *W.-F.* 22. C. v. B.

Ἄρχοντος Ἀνδρονίκου μηνὸς Ἐνδυσποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Χαρίξενος Ἀλέξωνος | Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἀνθράκιον, τιμᾶς ἀργυρί[ου μν]ᾶν | δύο, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Ἀνθράκιον τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὧιτε [ἐλευθέ]ραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα χρόνον ποιοῦσαν ὅ κα θέλη καὶ ἀ[ποτρέχου]|σαν οἷς κα θέ[λη]. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Διόδωρος [R. f. 6/8 Z.] | *Δελφός. εἰ δέ τις*

ἐφάπτοιτο ἐπὶ καταδ[ο]υ[λισμῶι] | Ἀνθρακίου, ὁ βεβαιωτὴρ ἀσφαλῆ παρεχέτ[ω τὰν ὠ]νὰν τῶι θεῶι. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀ[πόλ]λωνος Ταραντῖνος, Ἀμύντα[ς,] || Μένης, Σωδαμίδας Εὐαγγέλο[υ], | Εὐάγγελος Σωδαμίδα, Νικό|μαχος Δεξίππου, Θεύφρασ|στος Φιλοκράτεος.

Z. 5 Ende fehlen 6/8 Zeichen, die den Genitiv des Vatersnamens angaben. — 6 *W.-F.* καταδου[λισμῶι]. — 10 Der Name Μένης (so 1703, 9 und oft) ist hier fraglich; denn Ende von Z. 9 braucht nicht bloss ein Zeichen weggefallen zu sein, es können nach Z. 8 deren drei gewesen sein, also möglich Ἀμύντα[ς, . .]|μένης. — 12 *W.-F.* nur Θεύφρα στος.

Zeit: Priesterschaft IV (170—157/6).

1688 *W.-F.* 23. C. v. B.

Ἄρχοντος Πατρέα μηνὸς Βοαθοίου, ἀπέδοτο Σωξένα | Σωπόλι[ο]ς καὶ Πασὼ Σωδαμίδα, συνευδοκέοντος καὶ | Ἀσάνδρου τοῦ Σωπόλιος, τῶι θεῶι σῶμα ἀνδρεῖον | ὧι ὄνομα Σαραπίων τὸ γένος Σύρον, τιμᾶς ἀργυρίου || μνᾶν δύο, καὶ τὰν τιμὰν ἔχοντι, καθὼς ἐπίστευσε Σα|ραπίων τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὅτωι ἐλεύθερος εἶ|μεν καὶ ἀνέφαπτος ἀπὸ πάντων. βεβαιωτὴρ κατὰ | τοὺς νόμους· Ἀστόξενος Διονυσίου. μάρ[τ]υροι· | τῶν ἀρχόντων Ἀρχέλαος Δαμοσθένεος, Ἀστύο||χος Γνωσίλα, Ἄρχων, Βάκχιος, Ξένων, Ἄσανδρος, | Ἀριστίων, Θεόξενος, Καλλείδας.

W.-F. Z. 2 Σωπόλιος voll. — 8 Διονυσίου Druckfehler; μάρτυροι voll.

Zeit: Wahrscheinlich Priesterschaft V (etwa 156—151). Die Nr. 1688 steht mit 1689—1691 auf einem Polygon, und diese gehören Priesterschaft V an.

1689 *W.-F.* 24. C. v. B.

Ἄρχοντος Πατρέα τοῦ Ἀνδρονίκου μηνὸς Βυσίου, ἀπέ[δ]οτο Σωσί|ας Σωσία τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄ[ν]ομα Νικαία τὸ γένος ἐξ Ἀργεθίας καὶ τὸν ὑὸν αὐτᾶς Ἰσθμόν, τιμᾶς | ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Νικαία καὶ Ἰσθμὸς || τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθεροι εἶμεν καὶ ἀνέφαπτοι ἀπὸ πάντων τὸν πάντα | βίον. παραμεινάτω δὲ Νικαία καὶ Ἰσθμὸς παρὰ Σωσίαν ἄχρι οὗ κα ζώη Σωσίας, ποιέοντες πᾶν | τὸ ποτιτασσόμενον Σωσία τὸ δυνατὸν [ἀ]νενκλήτως· εἰ δὲ μὴ ποιέοιν Νικαία καὶ Ἰσθμός, μὴ | ἔστω βέβαιος αὐτοῖς ἁ ὠνά, ἀλλὰ ἄκυρος ἔστω. εἰ δέ τι ἐνκαλέοι Σωσίας Νικαία ἢ Ἰσθμῶ, ἐπικρι|θέντω ἐν ἄνδροις τρίοις· ὅ τι δέ κα οὗτοι κρίνωντι, κύριον

ἔστω. εἰ δέ τί κα πάθη Σωσίας, ποιη|σάτω τὰ ποτὶ γᾶν πάντα τὰ νομιζόμενα Νικαία καὶ Ἰσθμός. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς | πόλιος· Τιμόκριτος Εὐκλείδα. εἰ δέ τις ἅπτοιτο Νικαίας ἢ Ἰσθμοῦ ἐπὶ καταδουλισμῶι ἐπεί | κά τι πάθη Σωσίας, βέβαιον παρεχέτω ὁ βεβαιωτὴρ τῶι θεῶι [τ]ὰν ὠνάν. ὁμοίως δὲ καὶ οἱ παρα|τυγχάνοντες κύριοι ἐόντω συλέοντες ὡς ἐλευθέρους ἐόντας ἀζάμιοι ἐόντες καὶ ἀ|νυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλω[ν]ος Ἀμύντας, Ἀνδρόνι||κος καὶ τῶν ἀρχόντων Πολυκράτης, Πασίων καὶ ἰδιῶται Πατρέας, Εὐκλείδας, Εὐαγόρας, | Τιμόκριτος.

W.-F. Z. 1 ἀπέδοτο voll. — 2 ὄνομα voll. — 7 ἀνενκλήτως voll. — 12 τὰν voll. — 14 Ἀπόλλωνος voll. — Z. 3 hat der Stein wirklich ἐξ Ἀργεθίας, wie *W.-F.* gaben.

Zeit: Priesterschaft V (etwa 156—151).

1690 *W.-F.* 25. C. v. B.

Ἄρχοντος Πατρέα μηνὸς Ποιτροπίου, ἀπέδοτο Πολύξενος Ζηνέα, συνευδοκέοντος | καὶ τοῦ υἱοῦ Ξενοχάρεος, σῶμα γυναικεῖον ἇι ὄνομα Βακχὶς τῶι Ἀπόλλωνι τῶι Πυθίωι, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει, καθὼς ἐπίστευσε Βακχὶς τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὥστε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος καὶ κύριον εἶμεν τὸν παρα|τυχόντα συλέοντα ἐπ' ἐλευθερίαι. βεβαιωτὴρ [κ]ατὰ τὸν νόμον· Κλευφάνης Ἀμινία. παραμεινάτω δὲ Βακχὶς παρὰ Πολύξενον ὑπηρετέουσα Πολυξένω μέχρι κα | ζώη ἀνενκλήτως. μάρτυροι· τοὶ ἱερεῖς Ἀμύντας, Ἀνδρόνικος καὶ τοὶ ἄρχον|τες Ἀστίοχος, Νικίας, Τίμων Καλλικράτεος.

W.-F. Z. 4/5 nur τὸν | τυχόντα. — 5 κατά voll.

Zeit: Priesterschaft V (etwa 156—151).

1691 *W.-F.* 26. C. v. B.

Ἄρχοντος ἐν Δελφοῖς Ἀθάμβου τοῦ Ἀβρομάχου μηνὸς Ἠλαίου, ἀπέδοτο Μητρόδω|ρος Μηνοδότου τῶι Ἀπόλλωνι σῶμα γυναικεῖον ἇι ὄνομα Σῖμον, ἀργυρίου μνᾶν | πέντε. ἐλευθέρα δὲ ἔστω Σῖμον καὶ ἀνέφαπτος ἀπὸ πάντων, καθὼς αὐτὰ ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν, ὥστε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάν|των, συνευδοκέοντος καὶ Μηνοδότου. βεβαιωτὴρ· Πρ[α]ξίας Εὐδόκου. μάρ|τυρες· Ἀμύντας, Ἀνδρόνικος οἱ ἱερεῖς, Εὐάγγελος Πάτρωνος, [Κ]αλλείδας.

W.-F. Z. 5 *Πραξίας* voll. — 6 *Καλλείδας* voll.
Zeit: Priesterschaft V (etwa 156—151).

1692 *W.-F.* 27. C. v. B.

Ἄρχοντος Ἀγίωνος μηνὸς Ἰλαίου, βουλευόντ[ων τ]ὰν δευτέραν ἑξάμηνον | Κλέωνος τοῦ Ἥρυος, Ἀξαράτου τοῦ Ἀντιχάρε[ος, γρα]μματεύοντος δὲ Ταραντίνου τοῦ Μνασιθέου, ἐπὶ τοῖσδε ἀπέδοντο Α[R. f. 8 Z.] *[κ]αὶ Κλέων Ἥρυος τῶι Ἀ|πόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνο[μα] Δα[μὼ] τὸ γένος οἰκογενῆ, τι|μᾶς ἀργυρίου μνᾶν πέντε, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων ποιοῦσαν ὅ κα θέλη καὶ ἀποτρέχουσα[ν] οἷς κα θέλη. βεβαιωτὴρ | κατὰ τοὺς νόμους τᾶς πόλιος· Φιλόνικος Μεν[εδ]άμου. εἰ δέ τις ἐφάπτοι|το Δαμοῦς ἐπὶ καταδουλισμῶι, κύριος ἔστω ὁ παρατυχὼν συλέων Δαμὼ ἀζάμιος ὢν καὶ ἀνυπόδικος πάσας δίκα[ς κα]ὶ ζαμίας, καὶ ὁ βε||βαιωτὴρ καὶ οἱ ἀποδόμε[ν]οι βέβαιον παρεχόντω [τὰν] ὠ[ν]ὰν τῶι θεῶι. | μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄρχων καὶ Ἄθαμβος κ[α]ὶ ὁ νεωκόρος Ἀτεισίδας κ[α]ὶ ἰδιῶται Ἀρίσταρχος, Δαμόστρατος.*

W.-F. Z. 9 *πά[σα]ς δίκ[ας καὶ] ζαμίας.* — 10 *ἀποδόμενοι* voll. — 11 *καὶ ὁ νεω°.* — 12 [*Ἀτ*]°, *καί*; am Ende *Δαμόσ[τ]ρατος.*
Zeit: Priesterschaft IX (in der Zeit von 140—100).

1693 *W.-F.* 28. C. v. B.

Ἄρχοντος Ἀμύντα μη[ν]ὸς Ἡραίου, βουλευόντων τὰν | πρώταν ἑξάμηνον Ξ[ε]νοκρίτου τοῦ Στησιμένεος, | Κλέωνος τοῦ Διονυσ[ί]ου, γραμματεύοντος δὲ Μνασιδάμου | τοῦ Ξενοκρίτου, ἀπέδοτο Πυῤῥίας Ἀρχελάου Δελφὸς τῶι Ἀπόλλωνι || τῶι Πυθίωι ἐπ' ἐλευθερίαι σώματα γυναικεῖα δύο αἷς ὀνόματα Ἀριστοβούλα, Κλεονίκα, καὶ ἀνδρεῖον ὧι ὄνομα Ἀριστόβουλος τὸ γένος οἰκογενῆ, | τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσαν τὰν ὠνὰν τῶι θεῶι Ἀριστοβούλα, Κλεονίκα, Ἀριστόβουλος, ἐφ' ὧιτε ἐλεύθε[ροι] καὶ ἀνέφαπτοι εἶ|μεν ἀπὸ παντὸς τὸν πάντα βίον. βεβαιωτὴρ καθ[ὼς] ἁ ὠνὰ ἔχει· Ξενό||κριτος Ταραντίνου Δελφός. τᾶς ὠνᾶς τὸ ἀντίγραφον παρ[ὰ] τὸν | ἱερῆ τοῦ Ἀπόλλωνος Ἄρχωνα Καλλία καὶ παρὰ Φίλιον Χαλεῖ. | μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄθαμβος, Ἄρχων καὶ ὁ ν[εω|κ]όρος Ἀτεισίδας, Σώστρατος Σωτύλου, Μικκύλος Εὐδόκο[υ], | Ἀμύντας Εὐδώρου Δελφοί, Φίλιος, Νικόλαος

Τίμων||ος, Δαμόξενος Κλέωνος, Θρασέας, Πυῤῥίας, Ξενέας, | Νίκιος, Ὑβρίλαος, Λυσίδαμος Χαλεεῖς.

W.-F. Z. 1 μ[ην]ὸς. — 2 [Ξε]°. — 3 Διονυσίου voll. — 4 [Π]υρρίας. — 5 σ[ώμα]τα [γυ]°. — 6 [ᾧ] ὄνο[μα]. — 7 [ὠν]ὰν. — 8 °[τ]οβούλα. — 9 καθὼς voll. — 10 παρὰ voll. — 12/13 ν[εω]-κόρος. — 13 Εὐδόκου voll. — 15/16 Ξενέας Ν[έων]ος. — In Z. 10 verschlug sich der Steinmetz nach Ταραντ, glättete den Zeichenplatz und meisselte Jota dahinter ein. — Z. 12. Die Form ν[εωκ]όρος st. ν[ακ]όρος ergänze ich mit *W.-F.* wegen 1692, 11.

Zeit: Priesterschaft IX (in der Zeit von 140—100).

1694 *W.-F.* 29. C. v. B.

[Ἄρχοντος Θρα]συκλέος μηνὸς Ἀμαλίου, ἀπέδοτο Ἀλέ[ξανδρος Ἀλεξ]άνδρου Βοήθωι σῶμα γυναικεῖον ἇι [. . . | . . . . Θρ]ᾶισσαν ἐπ' ἐλευθερίαι τ[ιμ]ᾶς ἀργυρίου μνᾶς | [καὶ τὰν τ]ιμ[ὰν πᾶσαν ἔχε]ι. βεβαιωτὴρ κατὰ τ[ο]ὺς νόμους τᾶς πόλιος· || [α]νος [R. f. 6/7 Z.]νος. παραμεινάτ[ω δ]ὲ Θρᾶισσα παρὰ Βόηθον | [ποιέου]σα π[ᾶν τὸ] δυνατόν, ἄχρι οὗ κα ζώη Βόηθος· ἐπεὶ δέ κα [μ]ε[ταλλ]άξηι τὸ[ν βίο]ν Βόηθος, ἐλευθέρα ἔστω Θρᾶισσα καὶ ὁ βεβ[α]ιωτὴρ [μη]κέτι βε[βαι]ούτω. εἰ δέ τί κα ἐν τούτω τῶι χρόνωι Θρᾶισ|σα ἢ Β[ό]ηθος ποτὶ αὐτοσαυτοὺς ἀντιλέγοιν, κριθέντω⟨ι⟩ ἐν ἄνδροις τρί[ο]ις· || ὅ τι δέ κα οὗτοι κρίνωντι, κύριον ἔστω⟨ι⟩. ἀναγραψάτω⟨ι⟩ δὲ Βόηθος | Θρᾶισσαν ἀπὸ τοῦ Ἀλεξάνδρου ὀνόματος τῶι θεῶι ἐν μηνὶ Εἰλαίω | ἐπὶ τᾶς Θρασυκλέος ἀρχᾶς, μένουσαν Θρᾶισαν παρὰ Βόηθον ἄχρ[ι] οὗ κα | ζώη Βόηθος. εἰ δέ κα μὴ ἀναγράψηι Βόηθος Θρᾶισαν καθὼς ἐπάνω γέ|γραπται, πράκτιμος ἔστω Ἀλεξάνδρωι ἀργυρίου μνᾶς. μάρτυροι· Λα||ιάδας Βαβύλου, Φίλαγρος Φίλωνος, Χαρίξενος, Μένης, Δρομοκλεί|δας.

W.-F. Z. 1 [ἄρχοντ]ος Θρασυκλέος. — 2 °[ξανδρος] Ἀλεξάνδρου. — Beim Uebergange von Z. 2/3 unterlasse ich mit *W.-F.* die Ergänzung. Θρᾶισσα ist Eigenname, also ist die Lesung ἇι [ὄνομα –, τὸ γένος Θρ]ᾶισσαν unmöglich. Ich vergass, die Zahl der fehlenden Zeichen zu berechnen und gebe oben die Lücke nach *W.-F.* Ob eine Bemerkung wie in 1720, 2/3 darin stand? *W.-F.* Z. 3 [τι]μᾶς. — 4 [καὶ τὰν τ]ιμ[ὰν ἔχε]ι. In der Lücke nach [τ]ιμ[ὰν] habe ich πᾶσαν eingesetzt, weil sonst zu wenig Raum ausgefüllt wird; möglich ist freilich auch, dass eine Bruchstelle des Steines überhaupt nicht benutzt wurde. — *W.-F.* Z. 4 τούς voll. — 5 [. . . . .]ανος [. . . . .]νος. Παραμεινάτω δέ voll. — 7 fehlt Βόηθος. — 8 ° τὴρ . .? ετι βε[βαι]ούτω, wofür ich °τὴρ [. .]κετι β° notierte (vgl. 1830, 26/27). - 8 neben τῶι χρόνωι steht τούτω ohne Jota adscr. auf dem Steine. — *W.-F.* Z. 8/9 Θρ[ᾶ]ισσα ἢ Βόηθος. — 9 ἀνεγλείοιν? Der Steinmetz vergass zuerst das Verbum und trug es über °ΤΟΥΣΚΡΙΘ° nach, freilich in einer Weise, die die grösste

Mühe dem Entziffernden macht: die geringen Häkchen zwischen *αν* und *λ* habe ich bei wiederholter Betrachtung des Steines nur auf *τι* beziehen können. Am undeutlichsten ist *τ* geworden: es steht über Jota und unter *ε* von *ἐν* in Z. 8; seine Querhasta ist bestimmt, die senkrechte unklar deshalb, weil sie in die von Jota übergeht. Ueber die Richtigkeit der Lesung kann kein Zweifel sein, wenn man Parallelen wie 1689, 8/9; 1832, 6; 2049, 14, besonders 1971, 12 (*εἰ δέ τι ἀντιλέγοισαν αὐτοὶ ποτὶ αὐτούς κτλ.*) und 2072, 23 (*εἰ δέ τί κα ἐπικαλῆ Μέναρχος Ξένωνι ἢ Πειθολάωι ἢ Ξένων ἢ Πειθόλαος ἀντιλέγωντι ποτὶ Μέναρχον κτλ.*) vergleicht. — Z. 9/10 Stein dreimal ΤΩΙ als Ausgang des Imperativs. — *W.-F.* Z. 9 *τρί[οι]ς*. — 11 Ende ist *Εἰλαίω* und *Ελλαίω[ι]* möglich. — *W.-F.* Z. 12 *ἄχρι* voll und *οὐ κ[α]*. — 13 *[γέ]γραπται*. — 15 *Δρομο|κλείδας*, aber Z. 16 beginnt und endet mit ΔΑΣ und Z. 15 schliesst mit *Δρομοκλει|*.

Zeit. Wahrscheinlich Priesterschaft VI (etwa 150—140); auf demselben Polygon wie 1695 und 1696.

1695 *W.-F.* 30. C. v. B.

Ἄρχοντος Θρασυκλέος μηνὸς Ἐνδυσποιτροπίου, ἀπέδοντο Ἄθαμβος Ἀθ[α]|νίωνος, Νικίας Ἀριστωνύμου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀν|δρεῖον ὧι ὄνομα ⟨...⟩ Νύσας ἐνδογενῆ, τιμᾶς ἀργυρίου μνᾶν τεσσά|ρων, καὶ τὰν τι⟨..⟩μὰν ἔχοντι πᾶσαν, καθὼς ἐπίστευσε Νύσας ‖ τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὧιτε ἐλεύθερον εἶμεν Νύσαν καὶ ἀνέφαπτον | ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιέοντα ὅ κα θέλη καὶ ἀποτρέχοντα οἷς κα | θέλη. εἰ δέ τις ἐφ[άπτ]οιτο Νύσα, κ⟨ ⟩ύριος ἔστω ὁ παρατυχὼν συλέων Νύ|σαν ὡς ἐλεύθερο[ν] ἐόντα, καὶ ὁ βεβαιωτὴρ καὶ οἱ ἀποδόμενοι | βέβαιον παρεχόντ[ω τὰν ὠνὰ]ν κατὰ τοὺς νόμους τᾶς πόλιος. (βεβαιωτὴρ)· Εὐάγγε‖λος Πάτρωνος. [μάρτυ]ροι τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας καὶ Ἀν|δρόνικος καὶ τῶν [ἀρχόν]των Δεξώνδας, ἰδιῶται Ἀντιχάρης, Θεύ|δοτος, Δίων, Ξενέας, Αἴσων.

W.-F. Z. 1 *ἄρχον[τος]*, am Ende *Ἀθα|νίωνος*. — 3 Nach *ὄνομα* ist eine Lücke von drei Zeichen: entweder ist das Bruchstelle im Steine oder *ομα* war dittographisch wiederholt und wurde wieder ausgeschlagen. Dass nichts fehlt, beweist die Lücke in *τι⟨...⟩μὰν* unmittelbar darunter. — *W.-F.* 7 *ἐφάπτοιτο Νύσα[ς, κύ]ριος*, doch hat der Stein *Νύσα κ⟨ ⟩ύριος*, und die Ergänzung *Νύσας* wäre ja auch grammatisch falsch. — *W.-F.* 8 *ἐλεύθερο[ν ἐό]ντα*. — 9 *παρεχόντ[ω τὰν ὠνὰ]ν κατὰ τοὺς νόμους*. — 12 *Κ[λέω]ν* am Schlusse. Deutlich ist vom Namen die Endung *ων*, falsch ist die Lesung des ersten Zeichens als Κ. Die Reste nach °ΕΑ∠ sind ΛΙ∠; sie scheinen mir die Ergänzung *Αἴσων* zu fordern.

In Z. 9 vergass der Steinmetz das Wort *βεβαιωτήρ*, möglicherweise vor *κατά*, oder auch nach *πόλιος*.

Zeit. Priesterschaft VI (etwa 150—140).

1696 *W.-F.* 31. *Cauer* 217. C. v. B.

Ἄρχοντος Εὐχαρίδα μηνὸς Δαι[δαφορί]ου, ἐπὶ τοῖσδε ἀπέδοτο Λίριον, συνευδοκέοντος καὶ τοῦ ἀνδρὸς αὐτᾶς Θευγένεος, [τῶι] Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄ|νομα Μάνης τὸ γένος Παφλαγόνα, τιμ[ᾶς ἀ]ργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶ|σαν, καθὼς ἐπίστευσε Μάνης τὰν ὠνὰν τ[ῶι θε]ῶι, ἐφ' ὅτωι ἐλεύθερος ἦται τὸν πάντα χρόνον, ‖ ποιῶν ὅ κα θέλη. εἰ δέ τις ἐφάπτοιτο Μάνε[ος ἐ]π[ὶ κ]αταδουλισμῶι, κύριος ἔστω Μάνης αὐ|σωτὸν συλέων ὡς ἐλεύθερος ὤν. ὁμοίως δὲ κα[ὶ] εἴ τις ἄλλος συλέοι Μάνην ὡς ἐλεύθερον | ὄντα, ἀζάμιος ἔστω ὁ συλέων καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. βεβαιωτὴρ κατὰ | τὸν νόμον τᾶς πόλιος· Θρασυκλῆς Πραξία. παραμεινάτω δὲ Μάνης παρὰ Λίριον ἔτη τρία ἀ|νέγκλητος ποιῶν τὸ ποτιτασσόμενον [τ]ὸ δυνατό[ν]· εἰ δέ κα μὴ παραμένη ἀνένκλη‖τος Μάνης παρὰ Λίριον, καθὼς γέ[γ]ραπται, περὶ οὗ κα ἐπι[κ]αλῆ αὐτῶι, κριθέντων συνελόμενοι ἐν ἄνδροις [τ]ρίοις· ὅ τι δέ κ[α κρίνων]τι, κύριον ἔστω. ἄρχει τῶν τριῶν ἐτέων ὁ ἐνιαυτὸς | ὁ μετὰ τὰν Εὐχαρίδα ἀρχά[ν]. εἰ [δ]έ τι ἀνθρώπινον γένοιτο περὶ Μάνη, εἴ τί κα κατ[αλείπη ὑπά]ρ|χον Μάνης, Λιρίου ἔστω καὶ μὴ ἔστω ἐξουσία Μάνει διδόντι μηθενί, τά κα [ἔχη. μάρτυ]|ροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας, Ἀν[δ]ρόνικος καὶ οἱ ἄρχοντες Πασίω[ν, Βαβύλος,] ‖ Τιμοκλῆς, ἰδιῶται Μένης, Δάμων Δαμοκράτεος, Ἀντιφάνης, Νικέα[ς, Τιμόκριτος].

W.-F. Z. 1 *Δαιδα[φορίου]*. — 3 *τιμ[ᾶς] ἀργυρίου*. — 5 *Μάνε[ος ἐ]πὶ καταδουλισμῷ*. — 6 *δὲ κ[αί]*. — 9 *ποτιτασσόμε[νο]ν τὸ δυνατόν· εἰ [δέ] κ[α]*. — 10 *καθὼς γέ|γρ]α[πτ]αι, περὶ οὗ κα ἐπικαλ[ῆ]*. — 11 *[τρίο]ις· ὅ τι δὲ κ[ρίνων]τι*. — 12 *εἴ τί κα κατ[αλείποι]*. — 13 *ἐξ[ου]σία*. — Z 13 Schluss jetzt nur erhalten bis *τά κα*, *W.-F.* *τά κα ἔ[χη? . . μάρτυ]*. — 14 nur bis *Πασίω[* erhalten, *W.-F.* *Πασίων, [Βαβύλ]ος* (vgl. 1699, 18). — 15 jetzt nur bis *Νικέα[* erhalten, *W.-F.* *Νικέας, Τιμ[ό]κ[ριτ]ος* (vgl. 1699, 19). — In Z. 14 sah ich das *δ* von *Ἀνδρόνικος* nicht mehr, *W.-F.* geben *Ἀνδρόνικος* voll. — Zum Passus in Z. 13 vgl. 1891, 31.

Zeit. Priesterschaft VI (etwa 150—140).

1697 *W.-F.* 32. C. v. B.

Ἄρχοντος Ἀτεισίδα μηνὸς Ἡρακλείου, βουλευόντων τὰν δευτέραν ἑξάμηνον Νικαρέτου τοῦ | Ἀντιχάρεος, Ἀναξανδρίδα τοῦ Αἰακίδα, γραμματεύοντος δὲ Καλλίκωνος τοῦ Εὐκράτεος, ἐπὶ τοῖσ|δε ἀπέδοτο Ἀριστὼ Ἥρυος, συνευδοκέοντος καὶ τοῦ

ἀνδρὶς αὐτᾶς Φιλονίκου, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον αι ὄνομα Σωτηρὶς τὸ γένος οἰκογενῆ, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τι‖μὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Σωτηρὶς τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὥιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιοῦσα ὅ κα θέλη καὶ ἀποτρέχουσα οἷς κα θέλη. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Κλέων Ἥρυος. εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι Σωτηρίος, βέ|βαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα Ἀριστὼ καὶ ὁ βεβαιωτὴρ βεβαιούτω· εἰ δὲ μὴ παρέχοιν βέβαιον τὰν ὠνὰν τῶι θεῶι, πράκτιμοι ἔστων μνᾶν τριάκοντα. ὁμοίως δὲ καὶ οἱ παρατυχόν‖τες κύριοι ἐόντων συλέοντες Σωτηρὶν ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι | πάσας δίκας καὶ ζαμίας. - μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄρχων Καλλία, Ἄθαμβος Ἀβρομάχου | καὶ οἱ ἄρχοντες Κλέων Ἥρυος, Ἀζάρατος Ἀντιχάρεος, Ταραντῖνος Μνασιθ[έ]ου καὶ ὁ νεωκόρος Ἀτεισίδας.

W.-F. Z. 1 *[Νικ]αρέτου τοῦ.* — 5 *ἐφ' ὧτε.* — 12 *Μνασιθέου* und *Ἀτει-[σίδας]*. — Nach *ζαμίας* Z. 11 ist ein freier Platz von der Grösse eines Zeichens, was als eine Art Interpunktion anzusehen ist; vgl. 1698, 7 u. oft. — Ebenso klar wie in Z. 1 steht derselbe Name *Νικαρέτου* 1698, 2. — Zur Construktion in Z. 5/6 vgl. 1824, 4.

Zeit. Priesterschaft IX (in der Zeit von 140 – 100).

1698 *W.-F.* 33. C. v. B.

Ἄρχοντος Ἀτεισίδα μηνὸς Ἐνδυσποιτροπίου, βουλευόντων τὰν δευτέραν ἑξάμηνον Ἀναξανδρίδα τοῦ Αἰακίδα, Νικαρέτου τοῦ Ἀντιχάρεος, γραμματεύοντος [δὲ] Καλλίκωνος τοῦ Εὐκράτεος, ἐπὶ τοῖσδε ἀπέδοτο Νικὼ Ἐχεκλέος, συνευδοκέοντος καὶ τοῦ ἀνδρὸς [α]ὐτᾶς Λαιάδα καὶ τᾶν θυγατέρων Εὐκλεί|ας καὶ Ἰοππίδος καὶ τοῦ υἱοῦ Βαθύλου, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνο[μ]α Εὐρώπα τὸ γέ|νος οἰκογενῆ, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. καθὼς ἐπίστευσε Εὐρώπα | τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιοῦσα ἅ κα θέλη καὶ ἀποτρέχουσα οις κα θέλη. - βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πό[(λ)]ιος· Ἄγων Ἀριστίωνος. εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶ Εὐρώπας, βέβαιον παρεχέτω τῶι θεῶι τ[ὰ]ν ὠνὰν | ἅ τε ἀποδομένα Νικὼ καὶ ὁ βεβαιωτὴρ βεβαιούτω· εἰ δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, ‖ πράκτιμοι ἐόντων ἀργυρίου μνᾶν τριάκοντα. ὁμοίως δὲ καὶ οἱ παρατυνχ[ά]νοντες κύριοι ἐόντων συλέοντες Εὐρώπαν ὡς ἐλευθέραν οὖσαν καὶ

πράσσοντες τὸ γ[ε]γραμμένον ἐπίτιμον ἀζάμιοι ἐ|όντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄθαμβος, | [Ἄρχων]· Ἀτεισίδας, Ξενέας, Δαμόστρατος, Ἁβρόμαχος, Ξενόκριτος. ἁ ὠνὰ παρ' Ἀτεισίδαν.

W.-F. Z. 2 *δὲ κα°*. — 3 *αὐτᾶς*. — 4 *ὄνομα*. — 7 *πόλιος* (Stein *ποδ°*). — 8 *τὰν ὠνάν*. — 10 *°τυγχάνοντες*. — 11 *γεγρα°*. — Nach dem zweiten *θέλῃ* in Z. 7 ist ein freier Platz von der Grösse eines Zeichens; vgl. 1697, 11, 1704, 9. — Z. 13 fehlen zu Anfang 5 Zeichen; *W.-F.* setzen mit Berufung (s. Notes S. 305 ff.) auf 1697, 11 richtig [*Ἄρχων*] ein.

Die auffällige Namensform *Ἰοππίς* ist gleich *Ἰο-ππίς* (vgl. *Ἰο-κάστη*, *Ἰο-δάμα*), mit Doppelung für *Ἰο-π-ίς*, wie *Νεο-ττ-ίς* für **Νεο-τ-ίς* (vgl *Ἰό-λλας*), also Kurzform zu **Ἰο-πάτρα* oder a.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

1699 *W.-F.* 34. C. v. B.

Ἄρχοντος Εὐχαρίδα μηνὸς Ποι τροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Στό λος, συνευδοκεόντων καὶ τῶν υἱῶν | αὐτοῦ Εὐκλείδα καὶ Σωσιδάμου, τῶι Ἀπόλλω||νι τῶι Πυθίωι σῶμα γυναικεῖον κορίδιον τὸ γένος | ἐνδογενὲς ἇι ὄνομα Μέλισσα, τιμᾶς ἀργυρίου μνᾶς, | καὶ τὰν τιμὰν ἔχει [π]ᾶσαν, καθὼς ἐπίστευσε Μέλισσα τῶι θε|ῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν | πάντα χρόνον. βεβαιω[τ]ῆρες κατὰ τοὺς νόμους τᾶς πόλιος· Τιμοκλῆς || Πολύωνος, Σώστρατος Σωτύλου. εἰ δέ τίς κα ἐφάπτηται Μελίσσας ἐπὶ | καταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀποδό|μενοι Στόλος καὶ Εὐκλείδας καὶ Σωσίδαμος καὶ οἱ βεβαιωτῆρες Τιμοκλῆς, Σώ στρατος κατὰ τοὺς νόμους τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | τῶν ἰδιωτᾶν κύριοι ἐόντων συλέοντες Μέλισσαν ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐ|όντες καὶ ἀνυπόδικοι τοὶ συλέοντες πάσας δίκας καὶ ζαμίας

. . . . || . . . .

. . . . | . . . .

. . . . . *μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀ|πόλλωνος Πραξίας, [Ἀ]νδρόνικος καὶ οἱ ἄρχοντες Βαβύλος, Τιμοκλῆς, Πασίων καὶ ἰδιῶται Φιλοκράτης Ξένωνος, | Ἔχυλλος, Καλλιγένης Κλευδάμου, Διονύσιος Ἀστοξένου, Κλεύβουλος, Ἀναξανδρίδας, Ξένων Δημητρίου, Τιμόκρι τος.*

W.-F. Z. 1/2 *Ποι[τ]ροπίου*. — 6 [*Μέ*]*λισσα*. — 7 *πᾶσαν*. — 8 schlug der Steinmetz *°ατος* st. *ἀνέφαπτος* ein und setzte *π* klein über A und T. — *W.-F.* 9 *βεβαιωτῆρες* voll. — 10 *Σώσ[τ]ρατος*. — 12 *Σώ[σ]τρατος*. — 15/17

sind 2 Zeilen bis zur Unleserlichkeit ausgeschlagen. — *W.-F.* Z. 19 *Κα[λλι]-γέ[ν]ης*, aber nur *ν* ist undeutlich.

Zeit. Priesterschaft VI (etwa 150—140).

1700 *W.-F.* 35. C. v. B.

Στραταγέοντος τῶν Φωκέων Πυῤῥίνου Τιθορρέος μηνὸς πέμπτου, ἐν Δελφοῖς | δὲ ἄρχοντος Εὐχαρίδα μηνὸς Βυσίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀριστογένης Νικέα Λιλαιεὺς | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα γυναικεῖα δύο αἷς ὀνόματα Σωσίς, Ἀριστονίκα, τιμᾶς | ἀργυρίου μνᾶν ὀκτώ, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσαν Σωσὶς καὶ Ἀριστο‖νίκα τᾶι θεῶι τὰν ὠνάν, ἐφ' ὥιτε ἐλεύθεραι εἶμεν καὶ ἀνέφαπτοι ἀπὸ πάντων | τὸμ πάντα βίον, ποιέουσαι ὅ κα θέλωντι καὶ ἀποτρέχουσαι οἷς κα θέλωντι. βεβαιωτῆρες | κατὰ τοὺς νόμους τᾶς πόλιος· Νικόμαχος Ἀριστάρχου, Φάϋλλος Ἐπινίκου Λιλαιεῖς. εἰ δέ τίς | κα ἅπτηται Σωσίδος ἢ Ἀριστονίκας ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι | τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἀριστογένης καὶ οἱ βεβαιωτῆρες Νικόμαχος, Φάϋλλος κατὰ ‖ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες | Σωσίδα καὶ Ἀριστονίκαν ὡς ἐλευθέρας ἐούσας ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι | πάσας δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας, Ἀνδρόνι|κος καὶ οἱ ἄρχοντ[ε]ς Εὔδωρος Ἀμύντα, Ξεναγόρας Εὐκλείδα, Εὐκράτης Καλλίκωνος καὶ ἰδιῶ[ται] Ἡρακλείδ[α]ς Καλλία, Καλλείδας Εὐκλείδα, Γλαῦκος Ξένω‖νος, Ὑβρίας, Τιμόκριτο[ς Δ]ελφοί, Πολυκράτης, Νικέας [Ἀ]μύντα, Ἀριστοφάνης, Μνασίας | Ξενοκράτεος, Θρασύμαχος [(Λ)]ιλ[α]ιεῖς.

W.-F. Z. 13 *ἄρχοντες*. — 14 *Ἡρακλείδας*. — 15 *Τιμόκριτος Δελφοί*, dann *Ἀμύντα*. — Für das letzte Wort hat der Stein: ΑΙΑ▮ΙΕΙΣ, *W.-F.* *[Λ]ιλ[α]ιεῖς*.

Zeit. Priesterschaft VI (etwa 150—140).

1701 *W.-F.* 36. C. v. B.

Ἄρχοντος Εὐχαρίδα μηνὸς Ἐνδυσποιτροπίου, βουλευόντων τὰν δευτέ|ραν ἑξάμηνον Εὐδώρου, Εὐκράτεος, Ξεναγόρ[α], ἀπέδοτο Κρατὼ Νικοδάμου | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον οἰκογενὲς ἇι ὄνομα Δορκίς, τι|μᾶς ἀργυρίου μνᾶν δυῶν καὶ ἡμιμναίου, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. βεβαιωτὴρ ‖ κατὰ τοὺς νόμους τᾶς πόλιος· Ξενοφάνης Φιλονίκου. καθὼς ἐπίστευσε Δορ|κὶς τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὥιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος τὸν πάντα χρόνον, | ποιοῦσα ὅ κα θέλῃ καὶ

[ἀ]ποτρέχουσα οις κα θέλῃ· εἰ δέ τις κατ[α]δουλίζοιτο Δορ-κίδα, κυρία ἔστω αὐσαυτὰν συλέουσα καὶ ἄλλος ὁ θέλων ὑπὲρ Δορκίδος καὶ ὁ | βεβαιωτὴρ βεβαιούτω ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδι‖κοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος | Ἀνδρόνικος, Πραξίας καὶ τοὶ ἄρχοντες Ξεναγόρας, Εὐκράτης, Εὔδωρος καὶ ὁ ναο-κόρος Μένης, ἰδιῶται Εὐχαρίδας, [. .]ΑΘ[. . . . . .] *Εὐάρχου, Τιμόκριτος, Καλλείδας, Καλλίκων.*

W.-F. Z. 2 *Ξεναγόρα.* — 7 *ἀποτρέχουσα* und *καταδουλίζοιτο* voll. — 7/8 *Δορ[κίδα], | κυρία,* aber *κιδα* steht klar zu Anfang von Z. 8. — 12/13 *Εὐχαρίδας, Ἀθ[ανί]ων Εὐδώ|ρου,* aber *Εὐάρχου* ist ganz deutlich, und für die Lücke zwischen *Εὐχαρίδας* und *Εὐάρχου* notierte ich: ΑϜΑΘ [. . . . . .]. Es ist nicht unmöglich, dass die 2 Zeichen nach °*δας* ein Versehen des Steinmetzen sind und der Name mit ΑΘ begann.

Zeit. Priesterschaft VI (etwa 150—140).

1702 *W.-F.* 37. C. v. B.

Ἄρχοντος ἐν Δελφοῖς Ἀμφιστράτου μηνὸς Ἡρακλείου, ἐπὶ τοῖσδε ἀπέδοτο Πόλλις Πολυκράτεος σῶμα ἀνδρεῖον ᾧι ὄνομα Τέχνων τῶι Ἀπόλλωνι τῶι Πυ[θ]ίωι, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε τὰν | ὠνὰν Τέχνων τῶι θεῶι. παραμεινάτω δὲ Τέχνων παρὰ Πόλλιν ἔτη ὀκτὼ ποιῶν ‖ τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνένκλητος ὤν, ἄχρι οὗ κα διε[ξέλ]θῃ τὰ ὀκτὼ ἔτη· καὶ εἴ κα παραμείνῃ, καθὼς γέ-γραπται, βέβαιος ἔσ[τ]ω ἁ ὠνὰ τῶι θεῶι, | καὶ ὁ βεβαιωτὴρ βεβα[ιο]ύτω τῶι θεῶι κατὰ τοὺς νόμους τᾶς πόλιος εἰς τὸν πάν(τα) χρόνον· εἰ δὲ μὴ παραμείναι Τέχνων ἀνένκλητος καθὼς γέγραπται, ἀτελὴς καὶ | ἄκυρος ἔστω ἁ ὠνά. βεβαιωτὴ[ρ] κατὰ τοὺς νόμους τᾶς πόλιος· Τελέσαρχος ‖ Δαμοτέλεος. κύ-ριος δὲ ἔστω ὁ παρεντυχών, εἴ κα παραμείνῃ Τέχνων τὰ ὀ|κτὼ ἔτ[η], συλέων Τέχνωνα ὡς ἐλεύθερον ἀνυπόδικος ὢν καὶ ἀνυπ-εύθυνος | πάσας δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀ[(μ)]ύντας, Ταραντῖνος, ἰδιῶται Ξένων, Μένων, Μαντίας, Δημήτριος, Σιμίας, Ἀντιφάνης, Ξενόδαμος, Ἀγάθων Τριχονεύς.

W.-F. Z. 3 *Πυθίωι.* — 6 *ἔστω.* — 7 *βεβαιούτω.* — 9 *βεβαιωτήρ.* — 11 *ἔτη* voll. — Sie betonen Z. 2 *Πολλίς*, Z. 4 *Πολλίν.* — In Z. 7 hat der Stein °*πανχρο*°. — 12 ΑΝΥΝ°. — Beim Uebergange von Z. 5 zu 6 wäre die Form **δι-ἐθῇ* verständlich, wenn auch die hier erforderliche Bedeutung nicht belegt ist, um der Parallelen willen aber habe ich die Conjektur von *W.-F.* *δι[ξέλ]|θῃ* aufgenommen, vgl. 1832, 16 *ἄχρι κα διεξέλθωντι*

τὰ ὀκτὼ ἔτη und 2015, 9 *ἐπεὶ δέ κα διέλθωντι τὰ ὀκτὼ ἔτη⟨ι⟩*: möglich also auch *διέ[λ]|θη*.

Zeit. Priesterschaft IV (170—157/6).

1703 *W.-F.* 38. C. v. B.

Ἄρχοντος Θρασυκλέος μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀνδρόνικος Φρικίδα τῶι Ἀπόλλω|νι τῶι Πυθίωι σώματα δύο παιδάρια ἐνδογενῆ οἷς ὀνύματα Σωτηρίδας καὶ Σωσικράτης, τιμᾶς ἀρ|γυρίου μνᾶν ἑπτά, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσαν Σωτηρίδας καὶ Σωσικράτης | τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὥιτε ἐλεύθεροι εἶμεν καὶ ἀνέφαπτοι ἀπὸ πάντων τὸν πάντα χρό||νον, ποιέοντες ὅ κα θέλωντι. παραμεινάντων δὲ παρὰ Ἀνδρόνικον Σωτηρίδας καὶ Σωσικράτης | ἄχρι οὗ κα ζώη Ἀνδρόνικος ποιέοντες τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλή|τως· εἰ δέ κα μὴ ποιέωντι τὸ ποτιτασσόμενον, κύριος ἔστω ἐπιτιμέων τρόπωι ὧι κα θέλη. ἐπεὶ δέ | κά τι πάθη Ἀνδρόνι[κος], [ἐλεύ]θεροι ἔστωσαν καὶ ἀνέφαπτοι ἀπὸ πάντων τὸμ πάντα χρόνον. βεβαιωτῆρες | καὶ προστάται κα[τ]ὰ τὸν [νό]μον τᾶς πόλιος· Μένης, Τιμόκριτος. εἰ δέ τις ἅπτοιτο μετὰ τὸ μεταλλάξαι || Ἀνδρόνικον Σωτηρίδα καὶ Σω[σικρά]τεος ἐπὶ καταδουλισσμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνάν· εἰ δὲ μὴ | παρέχοιν βέβαιον, πράκτιμοι ἔστων κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντω[ν] | συλέοντες Σωτηρίδαν καὶ Σωσικράτη ὡς ἐλευθέρους ἐόντας ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας, Ἀνδρόνικος καὶ οἱ ἄρχοντες Ἀρι|στόβουλος, Δαμόστρα[το]ς, Τίμων καὶ ἰδιῶται Ἧρυς, Τίσων Θευχάριος, Ξένιων Πολύωνος, Δημήτριος.

Das erste Wort endet scheinbar auf °*τοις*: zwischen ο und ς ist eine Verletzung im Steine, die einem Jota gleicht. — Z. 2 Die Form *ὀνύματα* ist sicher, vgl. 1889, 4. — 3 liessen *W.-F.* nach *ἑπτά* die obige Quittungsformel weg. — *W.-F.* 5 nur *παραμεινάντω* st. °*των*. — 9 *κα[τὰ]*. — 10 *Σω[σικ]ράτεος ἐπὶ καταδουλισμῶι*. — 11 *ἐόντων* voll. — 14 *Δαμόστρατ[ος]* statt °[*το*]ς.

Zeit. Priesterschaft VI (etwa 150—140).

1704 *W.-F.* 39. C. v. B.

Ἄρχοντος Βαβύλου μηνὸς Βουκατίου, | ἀπέδοτο Στράταγος Τηλεφάνεος | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναι|κεῖον ἇι ὄνομα Στολίς, συνευδοκέ||οντος καὶ τοῦ υἱοῦ Νικάνορος, κατὰ τὸν | νόμον τᾶς πόλιος, τιμᾶς ἀργυρίου μνᾶν τρι|ῶν, καὶ τὰν

τιμὰν ἔχει, ἐφ' οτω ἐλευθέρα εἶμεν | ἀπὸ πάντων. βεβαιωτὴρ κατὰ τὸν νόμον· Καλ|λικράτης Διοδώρου. μάρτυροι· -Ὑβρίας ὁ ἄρχων ‖ τᾶς πόλιος, Ἀνδρόνικος ὁ ἱερεύς, Μένης, Καλλικρά|της, Δάμων Ξενοστράτου, Σωσίπατρος, Ἐκέ|φυλος Πολυκλείτου, Τίμων.

W.-F. Z. 9 *Πυρρίας*. Vor *Ὑβρίας* freier Raum von der Grösse eines Zeichens, wie 1697, 11; 1698, 7. — 7 *ὅτω* hat kein Jota.

Zeit. Wahrscheinlich Priesterschaft VI (etwa 150–140); auf demselben Polygon wie 1706 und 1707. Derselbe Freilasser 1862, 1.

1705 *W.-F.* 40. C. v. B.

Ἄρχοντος Βαβύλου μηνὸς Ἡρακλείου, ἀπ[έ]δοντο Με|νὼ καὶ Καλλίας οἱ Δίωνος κοράσιον ἇι ὄνομα Συνω|ρὶς τῶι Ἀπόλλωνι τῶι Πυθίωι, τιμᾶς ἀργυρίου στα|τήρων τριάκοντα, καὶ τὰν τιμὰν ἔχοντι, κα‖θὼς ἐπίστευσε Συνωρὶς τῶι Ἀπόλλωνι, ἐφ' ὅτωι | ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων, | ποιοῦσαν ὅ κα θέλη καὶ ἀποτρέχουσαν | οἷς κα θέλη· εἰ δέ τις ἐφάπτοιτο ἐπὶ κα|ταδουλισμῶι Συνωρίδος, συλήτω ὁ πα|ρατυχὼν ὡς ἐλευθέραν ἐοῦσαν. βεβαι|ωτὴρ κατὰ τοὺς νόμους [τ]ᾶς πόλιος· | Πολίτας Ἀσάνδρου. μ[άρ]τυροι· ὁ ἱερεὺς | Ἀνδρόνικος κ[α]ὶ ὁ νεωκόρος Μένης | καὶ τῶν ἀρχόντων Ἰατάδας καὶ ἰδι‖ῶται Μηνόδοτος, Πεισίστρατος | Βούλωνος, Ἀριστίων Ἄγωνος. | ἁ ὠνὰ παρὰ Μένητα.

W.-F. Z. 1 *ἀπέδ°*. — 11 *τᾶς*. — 12 *μάρτυροι*. — 13 *καί*. — In Z. 2 schlug der Steinmetz nach KAI wieder KAI ein, suchte das zweite Jota aber mit einer Schräghasta zu *λ* umzugestalten. — Zu Z. 1 bemerken *W.-F.* S. 306: Peut-être faut-il lire *Μένω[ν]*; sie betonen *Μένω*. — Der Name *Ἰατάδας* ist wohl gleich *Ἰᾱτ-άδας*, wie von *ἰᾱτός* (Pl. leg. 862) „heilend, geheilt"; vgl. *Θρεπτ-ίων* zu *θρεπτός*, *Χαριστ-ίων* zu *χαριστός*; er begegnet öfter, s. Index.

Zeit. Wahrscheinlich Priesterschaft VI (etwa 150—140); auf demselben Polygon wie 1706 und 1707.

1706 *W.-F.* 41. C. v. B.

Ἄρχοντος Εὐδώρου μηνὸς Δαιδαφορίου, ἀπέδοτο ἁ πόλις | τῶν Δελφῶν τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Εὐτυχίδας ἐνδογενῆ, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Εὐτυχίδας τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὅτωι ἐλεύθερον εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα | βίον, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. βεβαιωτὴρ κατὰ τοὺς νό|μους τᾶς πόλιος· Καλλίμαχος Βαβύλου. μάρτυροι· οἱ ἱερεῖς τοῦ | Ἀπόλ-

λωνος Ἀνδρόνικος, Πραξίας, ἰδιῶται Δρομοκλείδας, Ἀγί|ων Κλευδάμου, Δαμόστρατος, Μένης, Φίλαγρος.

Bis auf das ς in τᾶς ist die Inschrift gut erhalten. Zur Publikation dieser Nummer bei *W.-F.* habe ich nichts zu bemerken gefunden; sie ist korrekt.

Zeit. Priesterschaft VI (etwa 150—140).

1707 *W.-F.* 42. C. v. B.

Ἄρχοντος Εὐδώρου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀστύοχος Γνωσιλάου τῶι Ἀπόλλωνι τῶι Πυ|θίωι σώματα ἀνδρεῖα δύο οἷς ὀνόματα Δημήτριος, Ἐπικράτης, τιμᾶς ἀργυρίου μνᾶν ἕξ, καὶ τὰν τι|μὰν ἔχει πᾶσαν, καὶ ἄλλο σῶμα γυναικεῖον ἇι ὄνομα Σαραπιὰς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσαν | Δημήτριος καὶ Ἐπικράτης καὶ Σαραπιὰς τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε αὐτοὺς ἐλευθέρους εἶμεν καὶ ἀνεφάπτους || τὸμ πάντα χρόνον, ποιοῦντας ὅ κα θέλωντι. εἰ δέ τις ἐφάπτοιτο ἐπὶ καταδουλισμῶι, κύριος ἔστω ὁ παρα|τυχὼν συλέων Δημήτριον καὶ Ἐπικράτην καὶ Σαραπιάδα ὡς ἐλευθέρους ἀζάμιος ἐὼν καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. παραμεινάτωσαν δὲ Ἀστυόχωι καὶ Ἀρισταγόρα ἔντε κα ζώωντι Δημήτριος | καὶ Ἐπικράτης καὶ Σαραπιάς· εἰ δὲ μή, κύριοι ἐόντων κολαζόμενοι αὐτοὺς τρόπωι ὧι κα θέλωντι. βεβαιωτὴρ κατὰ | τὸν νομον· Καλλείδας Δαμοχάρεος. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀνδρόνικος, Πραξίας καὶ οἱ βουλευταὶ Ἀν||τιγένης, Θρασυκλῆς, Εὐκλῆς, ἰδιῶται Νικόμαχος, Μένων, Ἀστόξενος, Μένης, Εὐκλείδας.

Bisher war Z. 7 der doppelte Dativ unverständlich, da doch Z. 1 nur ein Freilasser genannt ist. Das wird klar durch Folgendes: Zwischen No. 1706 und 1707 ist mit kleinen Zeichen noch eingedrängt: καὶ ὁ υἱὸς αὐτοῦ Ἀρίσταρχος — wie Z. 7 erweist, ein Nachtrag zu Z. 1 ἀπέδοτο Ἀστύοχος. Freilich stimmt mit meiner Abschrift der dazwischen gemeisselten Zeile nicht die Namensform in Z. 7; dort notierte ich Ἀρίσταρχος, hier Ἀρισταγόρα (Dativ ohne Jota). Es muss am Steine nochmals nachgeprüft werden, ob der Steinmetz oder ich irrte. Auch 1859, 2 wird Ἀρίσταρχος als Sohn genannt.

Zeit. Priesterschaft VI (etwa 150—140).

1708 *W.-F.* 43. C. v. B.

Ἄρχο[ντος Ἀμφι]στ[ράτου] | μηνὸς [ ]κου, ἐπὶ τοῖσ[δε ἀπέδ]ο[τ]ο Τιμὼ Εὐδίκου, συνευαινέοντος | τοῦ υἱοῦ αὐτᾶς Λαδίκου, σῶμα γυ||ναικεῖον κοράσιον ἇι ὄνομα Μήδα, | τιμᾶς ἀργυρίου δύο μνᾶν, καθὼς ἐπί|στευσε Μήδα τῶι θεῶι τὰν

ὠνάν, ἐφ' ὧι|τε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ‖ ἀπὸ πάντων τὸμ πάντα χρόνον, ποιοῦ|σα ὅ κα θέληι. βεβαιωτὴρ κατὰ τοὺς | νόμους τᾶς πόλιος· Δρομοκλείδας. τρε|φέτω δὲ Μήδα Σωσίβιον τὸν ἴδιον πατέ[ρ]α καὶ τὰμ ματέρα Σωσὼ καὶ εὐσχημο|νιζέτω, ἐπεί κα ἐν ἁλικίαν ἔλθη, εἰ χρείαν ἔχοισαν Σωσίβιος ἢ Σωσὼ τροφᾶς ἢ εὐσχημονισμοῦ, εἴτε δουλεύοντες εἶεν εἴτε ἐλεύθεροι | γεγονότες· εἰ δὲ μὴ τρέφοι ἢ μὴ εὐσχημονίζοι Μήδα | Σωσίβιον ἢ Σωσὼ χρείαν ἔχοντας, ἐξουσία ἔστω ‖ Σωσιβίωι καὶ Σωσοῖ κολάζειν Μήδαν ὧ[ι] θέλοιν | τρόπωι, καὶ ἄ[λλ]ωι ὑπὲρ Σωσίβιον ἢ Σωσὼ ὅγ κα κελεύη Σωσίβιος ἢ Σωσώ. εἰ δέ τις ἐφάπτοιτο Μήδας | ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι | θεῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα Τιμὼ καὶ ὁ βεβαι|ωτὴρ Δρομοκλείδας· εἰ δὲ μὴ παρέχοισαν, πράκτιμοι | ἔστων Μήδαι καὶ Σωσιβίωι καὶ Σωσοῖ ἀργυρίου μνᾶν | ⟨μ[ν]ᾶν⟩ τεσσάρων κατὰ τὸν νόμον ἅ τε ἀποδομένα καὶ | ὁ βεβαιω[τ]ήρ. ὁμοίως δὲ καὶ ὁ παρατυχὼν κύριος ἔστω Μήδαν σ[υλ]έων ὡς ἐλευθέραν ἀνυπόδικος ἐὼν καὶ ἀ|ζάμιος πάσας δίκας καὶ ζαμίας, καθώς κα συλάση ἐπ' ἐ|λευθερίαι. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας | καὶ τῶν ἀρχόντων Ἄσανδρος, ἰδιῶται Μένης, Εὐκλῆς Ἐτυ|μώνδα, Μεσατεύς, Ἄρχων Καλλία, Ἄθαμβος Ἀγάθω|νος, Τυρβαῖος.

W.-F. Z. 1 *Ἀρχο[ντος Ἀμφι]στ[ράτου]* nach 1702, 1716 und 1717. Die zwei von ihnen gegebenen Zeichen *στ* sind unsicher; der Stein ist an dieser Stelle so zerrissen, dass man mehrere Risse darauf beziehen kann. — *W.-F.* Z. 3 |.*ου*, notierte *κ*, was zu Monatsnamen nicht passt. Ob |*ιου*? — 8 hat der Stein ΙΣΤΕΜΗ, *νοε* ist darüber nachgetragen. — *W.-F.* 11 *θέλῃ*. — 13/14 *πατέ ρα*. — Nach Z. 14 ist eine Zeile freigelassen. Der Steinmetz fing mit *νι* an, aber weil der Stein so rissig war, unterliess er seine Arbeit hier, setzte eine Zeile tiefer nochmals mit °*νι*° ein und fuhr regelrecht fort. — *W.-F.* 21 *ἄλλωι*. — 27 steht vor *τεσσάρων* obige Dittographie. — *W.-F.* 28 *βεβαιωτήρ* voll. — 30 *συλάβῃ*. — 32 fehlt *ἰδιῶται*. — 32 Das letzte *Σ* von *Ἄσανδρος* ist darüber eingemeisselt. — 33 hat der Stein *Μεσατεύς*, ursprünglich Bein. des Dionysos (Paus. 7, 21, 6).

Zeit. Wahrscheinlich Priesterschaft V (etwa 156—151); auf gleichem Polygon wie 1709-1711.

1709 *W.-F.* 44. C. v. B.

Ἄρχοντος Ἀθάμβου τοῦ Ἁβρομάχου μηνὸς Θεοξενίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἄναξις Ἐμμενίδα τῶι Ἀπόλλωνι τῶι | Πυθίωι, συνευδοκεόντων καὶ τῶν υἱῶν Ἐμμενίδα καὶ | Μνασιθέου, σῶμα ἀνδρεῖον ὧι ὄνομα Πολυκράτης τὸ γένος ‖ οἰκογενῆ,

τιμᾶς ἀργυρίου πέντε ἡμιμναίων, καθὼς ἐπίστευσε Πολυκράτης τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὧιτ[ε] ἐλε[ύ]|θερον εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸμ πάντα βίο[ν], | ποέοντα ⟨- - -⟩ ὅ κα θέλη. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς | πόλιος· Εὐάγγελος Πάτρωνος. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλω||νος Ἀνδρόνικος, Ἀμύντας καὶ ὁ νεω[κ]όρος Μένης καὶ τοὶ ἄρχοντες | [Ε]ὔδωρος, Ἀριστίων, Πολέμαρχος· Θεύδοτος Εἰραναίου, Νικόμαχος, | Δέξιππος, Ἀμφίστρατος, Μαντίας Δαμοχάρεος, Ἑρμαῖος Σωσθ[έ]νεος, | Ἀρτεμίδωρος.

W.-F. Z. 6 ὧιτε ἐλεύ°. — 7 βίον. — 8 sind nach ποέοντα 3 Zeichen ausgeschlagen. — W.-F. 10 νεωκόρος. — 11 Εὔδωρος. — 12 Σωσθένεος voll. — Sie betonen Ἀναξίς in Z. 2. — Wegen der Interpunktion in Z. 11 vgl. 1710, 15.

Zeit. Priesterschaft V (etwa 156—151).

1710 W.-F. 45. Nach einem Abklatsche c. v. B.

Ἄρχοντος Ἀθάμβου τοῦ Ἁβρομάχου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀνδρομένης Βαβύλου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Διοδώρα τὸ γένος ⟨.⟩ Φρυγίαν, συνευδοκέοντος καὶ | τοῦ υἱοῦ Βαβύλου, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶ||σαν, καθὼς ἐπίστευσε Διοδώρα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευ|θέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιέου|σα ὅ κα θέλη καὶ ἀποτρέχουσα οἷς κα θέλη. βεβαιωτὴρ κατὰ τὸν νό|μον τᾶς πόλιος· Ἄθαμβος Ἁβρομάχου. εἰ δέ τίς κα ἐνάπτηται Διοδώ|ρας ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων τὰν ὠνὰν τῶι θεῶι ὅ τε || ἀποδόμενος Ἀνδρομένης καὶ ὁ βεβαιωτὴρ Ἄθαμβος· εἰ δὲ μὴ παρέχοιεν | βέβαιον τὰν ὠνὰν τῶι θεῶι, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. | ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες Διοδώραν ὡς ἐλευ|θέραν ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· | τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ἀνδρόνικος καὶ οἱ ἄρχοντες Ἀριστίων Ἄγωνος, Πολέμαρχος Πολέμωνος, Εὔδωρος Ἀμύντα καὶ ἰδιῶται Τιμοκλῆς Ἀρχελάου, Βάκχιος Ἄγρωνος, Ξενόφαντος Φίλωνος, Πεισίστρατος Βούλωνος, Σωστρατίδας, ἀρχιτέκτων Τιμόκριτος Εὐκλείδα.

Auf der Strecke C—D der Polygonalmauer (s. Pomtow, Beitr. Tafel III) war es mir an vier Stellen unmöglich bis zum untersten Rande hinabzukommen, so dass ich die Nummern 1) 45 und 46 (= 1710 und 1711), 2) 79 und 80 (= 1744 und 1745), 3) 145—152 (= 1810—1817) und 4) 171 und 172 (= 1836 und 1837) nicht las. Kaum hatte ich nämlich das

heruntergerutschte Erdreich, das die Stellen verbarg, auswerfen lassen, so schoss es wieder von oben herab, weil es durch fast tägliche Regengüsse durchweicht war. Das war auch der Grund, dass ich mit Abklatschen Not hatte; sie gelangen entweder gar nicht oder nur schlecht. Was ich aus dem für No. 1710 herauslese, der ganz mangelhaft geriet, ist Folgendes:

(Darauf, den Zustand der Inschrift durch Schraffierungen kenntlich zu machen, verzichte ich). — Z. 3 deutlich ΓΕΝΟΣ.. ΡΥΓΙΑΝ. Das *φ* ist auf dem Abklatsche nicht gekommen; nach *γένος* ist Platz für ein Zeichen. Ob da der Stein verletzt war, oder ob ein Zeichen (das Σ oder Φ) dittographisch eingeschlagen wurde, weiss ich nicht. — 4 ΥΟΥ (ohne Jota) ist sicher. — 7 Anfang geben *W.-F.* °|[*σα*], aber der Abklatsch giebt *α* deutlich und selbst Σ lässt sich halbwegs in seinen Hasten erraten. Zwischen dem *λ* und *η* des 2. *θέλη* dieser Zeile ist ein Loch im Steine gewesen, das die Breite von 3/4 Zeichen (= 0,036) hat. In Z. 6, wo es anhebt, umging es der Steinmetz dadurch, dass er zwischen *πάντων* und *τὸν* eine kleinere Lücke liess; von da ab reicht es 0,055, d. h. bis Z. 11 hinab. — 8 ist *δὲ* und *τὶς* durch die Steinverletzung getrennt; das *ἐν* in *ἐν-άπτηται* ist mir unsicher. — 9 Wie in Z. 8 das sichere |*μον*, so ist hier das zweifellose |*ρας ἐπὶ* nicht gekommen. Die Steinverletzung verengert sich in dieser Zeile bis zu 0,015 zwischen *τ* und *ω* von *παρεχόντων* (*W.-F.* nur °*τω*). — 10 Auch hier ist die Lücke nur 0,015, zwischen *η* und *ρ* von *βεβαιωτήρ*, in Z. 11 zwischen *κ* und *α* von *κατά*. — Die Formeln von Z. 12 und 13 lassen sich sehr leicht erraten, wenn auch der Abklatsch hier sehr mangelhaft ist; die Form °*ροι* (*μάρτυροι*) ist mir sicher. — 14 ist zwischen *Ἀνδρόνικος* und *ἄρχοντες* alles weggeblieben. Rechnet man die Zeichenfelder nach, so könnte auch hier, wie am Anfange der Zeile *τοί* (st. *οἱ*, so *W.-F.*) gestanden haben. Am Schlusse steht ΑΓΩ deutlich, aber damit ist die Zeile noch nicht gefüllt; wenigstens haben Z. 13 und 15 noch je 2 Zeichen mehr. Ob auf demselben Platze von Z. 14 noch 1 oder 2 Zeichen standen, kann ich nicht herausbringen; klar ist der Anfang °|*νος* von Z. 15. — In den letzten 3 Zeilen habe ich auf dem Abklatsche nicht wiedergefunden: Z. 15 *Πολέμαρχος Πολέμωνος*, *Τιμο*° von *Τιμοκλῆς*, Z. 16 *Βάκχιος Ἄγρωνος*, *Ξενόφαντος Φίλω*[*νος* klar], *Πεισι*[Ende klar], in Z. 17 sehe ich nur [*τ*]*ίδ*[*ας*] *ἀρχιτέκτω*[*ν*]

Zeit. Priesterschaft V (etwa 156—151).

1711 *W.-F.* 46. Nach einem Abklatsche e. v. B.

Ἄρχοντος Ἀθάμβου τοῦ Ἁβρομάχου μηνὸς Θευξενίου, ἀπέδοτο Ζωῒς Ζωπύρου, | συνευδοκεούσας καὶ τᾶς θυγατέρος Πολυξένας, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Εὐκολίνα τὸ γένος Θρᾶισσαν, τιμᾶς ἀργυρίου μνᾶν δύο, | καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Εὐκολίνα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι|τε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιέουσα ὅ κα θέλη καὶ | ἀποτρέχουσα

οἷς κα θέλη. βεβαιωτ[ῆρε]ς κ[ατ]ὰ τὸν νόμον τᾶς πόλιος· Φιλοκράτης Ξέ|νωνος, Τιμόκριτος Εὐκλείδα. εἰ δὲ μὴ παρέχοι βέβαιον τὰν ὠνὰν τῶι θεῶι ἅ τε ἀποδομέ|να Ζωῒς καὶ ἁ θυγάτηρ καὶ οἱ βεβαιωτῆρες Πολυκράτης, Τιμόκριτος, πράκτιμοι ἐόντων | κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμ[οίως δὲ καὶ οἱ] παρατυγχάνοντες κύριοι ἐόντων [συ]|λέοντες Εὐκολίναν ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας | δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ [ἱερ]εῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ἀνδρόνικος καὶ | οἱ [ἄρχο]ντες Ἀριστίων Ἄγωνος, Πολέμαρχος Πολέμωνος, Εὔδωρος καὶ ἰδιῶται Μένη[ς], | Πεισίστρατος, Μενεκράτης Κλεανδρίδα, Ἀλέξανδρος, Τιμόκριτος.

Vgl. die Bemerkung zum Texte von 1710. Schon die Abschrift von *W.-F.* zeigte, dass die Inschrift lückenhaft erhalten ist. Nach meinem Abklatsche zu schliessen, hat sich die Ueberlieferung bedeutend verschlechtert. Von den ersten Hälften der 13 Zeilen kann ich gar nichts wiederfinden. Deutlich ist mir nur: Z. 1]μηνὸς Θευξενίου, ἀπέδοτο Ζωῒς Ζωπύρου|. — 2]ρος Πολυξένας, τῶι Ἀπόλλωνι τῶι Πυθίωι|. — 3]λίνα τὸ γένος Θρᾶισσαν, τιμᾶς ἀργυρίου μνᾶν δύ[ο]||. — 4]ολίνα τῶι θεῶι τὰν ὠνάν, [ἐφ' ὧι-]||. — 5] πάντα βίον ποιέουσα ὅ κα θέλ[η καὶ]||. — 6]τᾶς πόλιος· Φιλοκράτης [Ξέ-]||. — 7 βέ]βαιον [τὰν ὠ]νὰν τῶι θεῶι ἅ τε ἀπ[οδομέ-]||. — 8]Τιμόκριτος, πράκτιμοι ἐόντ[ων]||. — 9 π]αρα[τ]υγχάνοντες κύριοι [ἐόντων συ-]||. — 10] ἐόντες καὶ ἀνυπόδικοι πά[σας]||. — 11] Ἀμύντας Ἀνδρόνικος [καὶ]||. — 12] Εὔδωρος καὶ ἰδιῶται [Μένης]||. — 13 Τ]ιμόκρ[ιτ]ος. Das von mir so mühsam Herausgelesene stimmt Zeichen für Zeichen mit dem Texte bei *W.-F.*

Zeit. Priesterschaft V (etwa 156—151).

1712 *W.-F.* 47. C. v. B.

Στραταγέοντος τῶν Φωκέων Τηλεφάνεος Δρυμι(έ)ος μηνὸς ἐνάτου, ἐν Δελφοῖς δὲ | ἄ[ρ]χοντος Εὐδώρου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀ|π[έδοτ]ο Καλλίκων Ἡρακλείδα Ἐλατεὺς τῶι Ἀπόλλωνι τῶι Πυ||θίω[ι σ]ῶμα γυναικεῖον ἆι ὄνομα Διονυσία τὸ γένος Αἰγυ|πτίαν, [σ]υνευδοκεόντων καὶ τῶν υἱῶν Ἡρακλείδα καὶ Νικο|βούλο[υ], τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν | ἔχει π[ᾶ]σαν, καθὼς αὐτοὶ εὐδόκησαν, ἐφ' ὧιτε ἐλευθέραν εἶ[μ]εν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα || χρόνον, ποιέουσαν ὅ κα θ[έ]λ︎ηι καὶ ἀποτρέχουσαν | οἷς κα θέληι. βεβαιωτῆρες κατὰ τὸν νόμον· Γλαῦκος | Ἡρακλε[ί]δα Δελφός, Διονύσιος Ἀρίστωνος Ἀντικυρεύς. | εἰ δέ τις ἐφάπτοιτο Διονυσίας ἐπὶ καταδουλισσμῶι, | βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀ||ποδ[όμε]νοι καὶ οἱ βεβ[α]ιωτῆρες·

εἰ δὲ μὴ παρέχοιν | τῶι [θε]ῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν | νό[μο]ν τῶν Δελφῶν καὶ κατὰ τὸ σύμβολον τῶν Φωκέων. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | [κ]ύριοι ἐόντων συλέοντες Διονυσίαν ὡς ἐλευθέ||ραν ἐοῦσαν καὶ ἀνέφαπτον ἀζάμιοι ἐόντες καὶ ἀ[ν]υπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· τοὶ | ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀνδρόνικος, Πραξίας καὶ τῶν | ἀρχόντων Εὐκλῆς, ἰδιῶται Νικόμαχος, Εὐ[κ]λείδας, Ἀστόξενος, Μένης, Μένων, [Κ]αλλεί||δας, Ἀστύοχος.

W.-F. Z. 2 *Δρυμι[έος]*. — 3 *ἄρχοντος*. — 4 ||*[ἀ]πέ[δοτ]ο*, aber *ἀ* steht noch auf Z. 3. — 6 *[συ]νευδοκεόντων*. — 8 *πᾶσαν*. — 9 *εἶμεν*. — 10 *θέλῃ*. — 12 *Ἡρακλείδα*. — 13 *°δουλισμῶι*. — 14 *ἀπ[ο]δόμενοι καὶ οἱ βεβαιωτῆρες*. — 24 *Καλλείδας*. — Zu Z. 16 merken *W.-F.* S. 306 an: il faut sous-entendre *βέβαιον* (vgl. Z. 14). — Beim Ethnikon in Z. 2 vergass, so scheint es, der Steinmetz *ε*, und *ο* und *ς* sind sehr verletzt.

Zeit. Priesterschaft VI (etwa 150—140).

1713 *W.-F.* 48. C. v. B.

Ἄρχοντος Πεισιθέου μηνὸς Ἰλαίου, βουλευόντων τὰν δευτέραν ἑξάμ[η]νον Ἀγησίλα, Εὐδόκου, Γλαύκου, ἀπέδοτο τῶι θεῶι Ξεναίνετος Π[α]τρώνδα παιδάριον ὧι ὄνομα Ἡράκλειτος, τιμᾶς ἀργυ|ρίου μνᾶς, καθὼς ἐπίστευσε Ἡράκλειτος τῶι θεῶι τὰν ὠνάν, || ὥστε ἐλεύθερος εἶμεν καὶ [ἀ]νέφαπτος τὸν πάντα χρόνον⟨ον⟩. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Μνασίας Ἀγαθοκλέος. εἰ δέ τις | καταδουλίζοιτο Ἡράκλειτον, κύ[ρ]ιος ἔστω αἰσαυτὸν συλέων καὶ | ἄλλος ὁ θέλων καὶ ὁ βεβαιωτὴρ βεβαιούτω. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλ|λωνος Ἀνδρόνικος, Πραξίας καὶ οἱ ἄρχοντες Ἀγησίλαος, Εὔδοκος, Γλαῦ||κος, ἰδιῶται μάρτυροι Πο[λ]ύων, Καλλικλῆς Τίμωνος, Μνασίας, | Ἑρμαῖος, Ξένων Νίκωνος, Μένης.

W.-F. Z. 2 *ἑξάμηνον*. — 5 *ἀνέφαπτος*, dann *χρόνον*, ohne Angabe der Dittographie. — 6 *τὸν νόμον*. — 7 *κύριος*. — 10 *Πολύων*. — Bemerkenswert ist der gen. *Ἀγησίλα* (Z. 2) neben dem nom. *Ἀγησίλαος* (Z. 9 und 1714, 11); vgl. dazu *Πεισίλα* 2039, 1, aber *Πισιλάου* 2054, 1 u. a.

Zeit. Priesterschaft VI (etwa 150—140).

1714 *W.-F.* 49. C. v. B.

Ἄρχοντος Πεισιθέου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοντο Βάκχιος Ἄγρωνος, Ξεναίνα Θεοφράστου, Δρόμων Δρόμωνος, συνευδοκέοντος καὶ | τοῦ υἱοῦ Ἄγρωνος, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον κοράσιον ἆι | ὄνομα Σωφρόνα τὸ

γένος ἐνδογενῆ, τιμᾶς ἀργυρίου μνᾶς, καὶ τὰν τι‖μὰν ἔχοντι, καθὼς ἐπίστευσε Σωφρόνα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὅτωι ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων. παραμεινάτω δὲ Σωφρόνα παρὰ Δρόμωνα ἕως οὗ κα ζώη Δρόμων ποιέουσα τὸ ποτιτασσόμενον καὶ δυνατὸν πᾶν· εἰ δὲ μὴ πειθαρχέοι Σωφρόνα, κύριος ἔστω Δρόμων ἐπι|τιμέων Σωφρόνα τρόπωι ὧι θέλοι ὡς ἐλευθέρα. βεβαιωτὴρ κα|τὰ τὸν νόμον· Ἀριστίων Ἄγωνος. μάρτυρες· οἱ ἱερεῖς Πραξίας, Ἀνδρόνικος καὶ οἱ ἄρχοντες Εὔδοκος, Ἀγησίλαος, | ἰδιῶται Καλλε[ί]δας, Τιμόκριτος.

Z. 2 kann man *Δρόμωνος* und *Δρομ[ί]ωνος* lesen, zwischen M und Ω ist der Stein verletzt. — Zu Z. 3 merken *W.-F.* S. 306 an: AI, qui se trouve déjà à la fin de la ligne 3, est répété au commencement de la ligne 4. Diese Bemerkung beruht auf Versehen; nur Ende von 3 steht AI. — *W.-F.* Z. 12 *Καλλικλῆς* statt *Καλλε[ί]δας*; letzterer auch 1712, 24.

Zeit. Priesterschaft VI (etwa 150—140).

1715 *W.-F.* 50. C. v. B.

Στραταγέοντος [τῶν Φωκέων Κ.....]ος Φανατέος μηνὸς τρίτου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ἀνδρονίκου μηνὸς | Ποιτροπίου, ἐπὶ τ[οῖσδε ἀπέδοτο Ἀγ]αμήστωρ Τελέστα Λιλαιεὺς τῶι Ἀπόλλωνι τῶι Πυθ[ί]ωι σῶμα γυναικεῖον ἇι ὄνομα Ζωπύρα τὸ γένος Θρ[ᾶισσαν, καὶ σώματ]α ἀνδρεῖα δύο οἷς ὀνόματα Ἀγαμήστωρ, Τελέστας, τὸ γένος οἰκογενεῖς, τιμᾶς ἀργυρίου μνᾶν ἑπτά, καθὼ[ς ἐπίστευσαν] Ζωπύρα, Ἀγαμήστωρ, Τελέστας τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρους εἶμεν καὶ ‖ ἀνε[φά]πτους ἀπὸ πάν[των τὸμ πάν]τα βίον, παραμείναντας ἄχρι κα ζώη Ἀγαμήστωρ. βεβαιωτὴρ κατὰ τὰν συμβολάν· | Πολύγνωτος Πολυξέν[ου] Λιλαιεύς. μάρτυ[ρ]ες· τοὶ ἱερεῖ⟨ει⟩ς Ἀμύντας, Ταραντῖνος καὶ τοὶ ἄρχοντες Καλλίμαχος, | Εὐαγόρας, ἰδ[ι]ῶτα[ι] Μαντί[α]ς Δαμοχάρεος, Κάλλων Λεπτίνα, Σώδαμος Ἀνδροπείθεος, Ἀστύοχος, Ὀρθαγόρας, Ξενοκράτης | Δελφοί, Κα[λ]λίξ[ε]νος Λιλαιεύς. ἁ ὠνὰ παρὰ Ξενοκράτη Δελφὸν καὶ παρὰ Καλλίξενον Λιλαιῆ.

W.-F. Z. 1 *τῶν Φωκέων Κ....*, was jetzt nicht sichtbar; ohne *ος* vor *Φανατέος*. — 2 *ἐπὶ τοῖσδε ἀπέδοτο Ἀγαμήστωρ*, dann *Πυθίωι*. — 3 *Θ[ρᾶι]σσαν καὶ σώματα*. — 4 *καθὼς ἐπίστευ[σαν] Ζωπύρα*. — 5 *ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα βίον*. — 6 *Πολυξένου, μάρτυρες, ἱερεῖς* ohne Angabe der Dittographie. — 7 *ἰδιῶται Μαντίας*. — 8 *Καλλίξενος*. - Zu Z. 7 bemerken *W.-F.* S. 306: *Ξενοκράτης*, qui se lit à la fin de la ligne 7, est répété au

commencement de la ligne 8. Das ist ein Versehen, der Name steht nur Z. 7.

Zeit. Priesterschaft IV (170—157/6).

1716 *W.-F.* 51. C. v. B.

Ἄρχοντος Ἀμφιστράτου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Μικκύλος Λαδίκου τῶι Ἀπόλλωνι [τ]ῶι Πυθίωι σώματα δύο | αἷς ὀνόματα Σωκράτεια, Σοφία, καὶ τὰ ἐνδύματα π[ά]ντα, ἀργυρίου [μν]ᾶν πέντε, καὶ τὰν τιμὰν ἔχε[ι]. βεβαιωτῆρες· Εὔδοξος | Πραξία, Λέων Ἀρισταγόρα, κατὰ τοὺς νόμους τᾶς πόλ[ι]ος. καθὼς ἐπίστευσαν Σωκρ[ά]τεια καὶ Σοφία τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὅτωι | ἐλευθέρας εἶμεν τὸμ πάντα χρόνον. εἰ δέ τις καταδουλίζοιτο Σωκράτ⟨ι⟩ειαν ἢ Σοφίαν, κύριος ἔστω ὁ παρεντυχὼν συλέων ‖ ἀνυπόδικος ὢν πάσας δίκας καὶ ζαμίας. παραμεινάτω δὲ Σωκράτεια παρὰ Μικκύλον ποιοῦσα ὅ κα ἐπιτάσσῃ Μικκύλος πᾶν τὸ | δυνατόν· εἰ δέ ⟨. . ε⟩ κα μὴ ποῆι, κύριος ἔστω κολάζων. ἐπεὶ δέ κα μεταλλάξῃ Μικκύλος ὁ Λαδίκου τὸμ βίον, ἐλευθέρα ἔστω Σωκράτεια. | εἰ δέ τις ἐφάπτοιτο, οἵ τε βεβαιωτῆρες βεβαιούντω καὶ ὁ παρατυχὼν κύριος ἔστω συλέων καθὼς ἐπάνω γέγραπται. μάρτυροι· | ὁ ἱερεὺς το[ῦ] Ἀπόλλωνος Ταραντῖνος καὶ οἱ ἄρχοντες Ἄθαμβος, Τελέσαρχος, Ἄσανδρος, ἰδιῶται Εὐαγόρας, Μελισσίων, Ξενόκριτος, | Ἀγησίλαος, Ἐχέφυλος.

W.-F. Z. 1 *τῶι Πυθίωι.* — 2 *πάντα, ἀργυρίου μνᾶν, ἔχει.* — 3 *τᾶς πόλιος,* dann *Σωκράτεια.* — 4 *Σωκράτειαν,* ohne Angabe des Jota nach *τ*. Das Versehen des Steinmetzen ist lehrreich: erst schlug er *ι*, was er sprach, ein, dahinter *ει*, was die herkömmliche Schreibung war; vgl. *ἱ⟨ε⟩αρόν* Verf. „Aus Epidauros“ S. 11. — Zu *ἔστω* in Z. 4 ist zu merken, dass der Steinmetz Ω auf ein dittographisches T setzte. — In Z. 6 ist nach *εἰ δέ* eine Dittographie von 3 Zeichen ausgeschlagen; nur das 3. Zeichen E blieb sichtbar. *W.-F.* Z. 6 *ποιῇ* statt *ποῆι.* — 8 *τοῦ Ἀπόλλωνος.*

Zeit. Priesterschaft IV (170—157/6).

1717 *W.-F.* 52. *Ditt.* 466. C. v. B.

Ἄρχοντος Ἀμφιστράτου μηνὸς Ἡρακλείου, ἐπὶ τοῖσδε ἀπέδοντο [Κα]λλίστρατος Μαντία, Θαύμιον Κλέωνος, συνεπαινέοντος τοῦ υἱοῦ [Ε]ὐκλέ[ος], τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα [γ]υναικεῖον ἆι ὄνομα Ἀφροδισία τὸ γένος Σύραν, τιμᾶς ἀργυρίου μνᾶν τριῶν. βε[βαι]ωτὴρ κατὰ τὸν νόμον· Ἀστύοχος Γνωσίλα. παραμεινάτω δὲ Ἀφροδισία παρὰ Καλλίστρατον

καὶ Θαύ[μ]ιον ἄχρι οὗ κα ζώω[ν]τι, ποέουσα τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως. εἰ δέ τί κα πάθων[τ]ι Καλλίστρατος ‖ καὶ Θαύμιον, ἀποδότω Ἀφροδ[ι]σία Εὐκλεῖ ἀργυρίου μνᾶν κ[αὶ] ἐλε[υ]θέρα ἔστω, καθὼς ἐπίστευσε Ἀφροδισία τῶι θεῶι | τὰν ὠ[νάν], ἐφ' ὥιτε ἐλευθέρα εἶμ[εν κ]αὶ ἀνέφαπτος ἀπὸ πάντω[ν]. εἰ δὲ πρότερον θέλοι Ἀφροδισία ἀπολύεσθαι ἀπὸ Καλλιστράτου | καὶ Θα[υμί]ου ζωόντων, ἀντιπρι[άσ]θω Ἀφροδισία Καλλιστράτω[ι κ]αὶ Θαυμίωι σῶμα γυν[α]ικεῖον τὰν αὐτὰν ἁλικίαν | ἔχον· εἰ δ[ὲ] μὴ ποέοι Ἀφροδισία τ[ὸ πο]τιτασσόμενον δυνατὰ ἐοῦσα [ἢ μ]ὴ παραμένοι, ἐξουσίαν ἐχόντω [Θ]αύμιον καὶ | Καλλίστρατος κολάζειν ὧι κα θ[έ]λωντι τρόπωι. ἐπεὶ δέ κα τελευτάσωντι Καλλίστρατος καὶ Θαύμιον καὶ ἀποδώη ‖ Ἀφροδισία Εὐκλεῖ τὰμ μνᾶν ἢ πρότερον ἀντιπριάηται τὸ σῶμα, καὶ ἅπτηταί τις Ἀφροδισίας ἐπὶ κ[α]ταδουλισμῶι, βέ⟨βε⟩βαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀποδόμενοι ἢ οἱ ἐπίνομοι καὶ ὁ βεβαιωτὴρ Ἀστύοχος, καὶ ὁμοίως κύριος | ἔστω ὁ παρατυχὼ[ν] συλέων Ἀφροδισίαν ὡς ἐλευθέραν οὖσαν ἀζάμιος ὢν καὶ ἀνυπ[όδ]ικος πάσας δίκας καὶ ζαμίας. | μάρτυ⟨ρ⟩ες· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἀμύντας καὶ τῶν ἀρχόντων Τελέσαρχος, ἰδιῶται Βούλων, Μαντίας Δαμοχάρεος, Ἀμεινίας.

Z. 1 ist über ΕΠΙΟΙΣ° das τ nachgetragen. — *W.-F.* Z. 1 [*Κ*]*αλλίστρατος*. — 2 *Εὐκλέος*, *γυναικεῖον*. — 3 *βεβαιωτήρ*. — 4 *Θαύμιον*, *ζώωντι*, *πάθωντι*. — 5 *Ἀφροδισία*, *καὶ ἐλευθέρα*. — 6 *τὰν ὠνάν*, *εἶμεν καὶ*, *πάντων*. Zwischen *ὥτε* und *ὥιτε* kann man schwanken. — *W.-F.* 7 *Θαυμίου*, *Καλλιστράτωι καὶ Θαυμίωι σῶμα γυναικεῖον*. — 8 *ἢ μή*, *ἐξουσίαν ἐχόντω Θαύμιον* — 9 *θέλωντι*. — 10 *καταδουλισμῶι*. — 10/11 *βέ-βαιον*, ohne Angabe der Dittographie. — 12 *παρατυχών*, *ἀνυπόδικος*. — 13 *μάρτυρες*, mit Angabe des Versehens auf S. 306. — Alles lehrt, dass diese Inschrift seit *W.-F.* sehr gelitten hat.

Zeit. Priesterschaft IV (170—157/6); auf gleichem Polygon wie 1715 und 1716, und zwar unmittelbar hinter ihnen. Vgl. 1717, 13 mit 1716, 8.

1718 *W.-F.* 53. *Ditt.* 465. C. v. B.

Στραταγέοντος τῶν Φωκέων Καλ[λ]ικράτεος [Ἐ]λατέος μηνὸς ἕκτου, ἐν δὲ Δελφοῖς ἄρχοντος Ἄρχωνος τοῦ Καλλία μηνὸς Θεοξενίου, ἐπὶ τοῖσδε ἀ[π]έδοτο Ἐπ[ιχα]ρίδας Εὐδάμου Λιλαιεύς, συνευδοκεούσας καὶ τᾶς ματρὸς αὐτοῦ | Ἀριστοκρατείας, τῶι Ἀπόλ[λ]ωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἀσία τὸ γένος Σύραν, τιμᾶς ἀργυ|ρίου μνᾶν τριῶν καὶ ἡμιμναίου, καθὼς ἐπίστευσε Ἀσία τῶι θεῶι τὰν ὠνάν, ἐφ'

ὥιτε ἐλευθέραν ‖ εἶμεν οἰκέουσαν [ἐ]ν Λιλαί⟨αι⟩αι καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸμ πάντα βίον, ποιοῦσαν ὅ κα | θέλη. βεβαιωτῆρες κατὰ τ[ὰ]ν συμβολάν· Διόδωρος Ἡράκωνος, Τιμοκλῆς Θρασέα Δελφοί. εἰ δέ τις | ἅπτοιτο Ἀσίας ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἐπι|χαρίδας καὶ οἱ βεβαιωτῆρες Διόδωρος καὶ Τιμοκλῆς· εἰ δέ κα μὴ παρέχωντι τὰν ὠνὰν βέβαιον τῶι θεῶι, πράκτιμοι ἐόντω κατὰ τὰν συμβολὰν καὶ κατοὺς νόμους, καὶ ὁμοίως κύριοι ἐόντω συλέοντες οἱ παρα‖τυγχάνοντες Ἀσ[ία]ν ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζ[α]μίας. μὴ οἰκησάτω δὲ Ἀσία ἔξω | Λιλαίας μηδὲ πολιτευσάτω ἄνευ τᾶς Ἐπιχαρίδα γνώμας· εἰ δὲ οἰκήσαι ἢ πολιτεύσαιτο, ἄκ[υρ]ος αὐτᾶς | ἔστω ἁ ὠνὰ καὶ ἀτελής. ὡσα[ύτω]ς δὲ μηδὲ ἀπαλλοτριωσάτω Ἀσία [εἴ] τί κα ἐπεργάζηται ἀπὸ Ἐπιχαρίδα ἢ τῶν ἐπινόμων αὐτοῦ κατὰ μηδένα τρόπον· εἰ δὲ ἀπαλλοτριωοίη ⟨δε⟩ καθ' ὁποῖον τρόπον, ἄκυρος αὐτᾶς ἁ ὠνὰ ἔστω, καθὼς καὶ ἐπάνω γέγραπται. ἐπεὶ δέ κα τελευτάση Ἀσία, τὰ ὑπάρχοντα αὐτᾶς πάντα ἔστων Ἐπιχαρίδα ἢ τῶν ἐπινόμων αὐτοῦ. μάρτυρες· οἱ ἄρχοντες Κλέων | Δαμοσθένεος, Νίκαρχος Ἐράτωνος, Ἁγίων Ἐχεφύλου, ἰδιῶται Μαντίας Δαμοχάρεος, Ἀρχέλαος | Πυθοφά[ν]εος, Μαντίας Φιλαιτώλου, Δέξιππος Νικαίου Δελφοί, Καφίσων Εὐκλείδα, | Στράτων Εὐάρχου Λιλαιεῖς. ἁ ὠνὰ παρὰ μὲν Φωκῆ Καφίσωνα Εὐκλείδα | Λιλαιῆ, παρὰ δὲ Δελφὸν Μαντίαν Δαμοχάρεος.

W.-F. Z. 1 *Καλλικράτεος.* — 2 *ἀπέδοτο Ἐπιχαρίδας.* — 3 *Ἀπόλλωνι.* — 5 *ἐν Λιλαίαι.* Bei letzterem Worte versah sich der Steinmetz: nach ΛΙΛΑΙ ist die Dittographie ΑΙ ausgeschlagen und der Stein geglättet; nach einem kleinen Bruche folgt die Endung ΑΙ. — In Z. 6 ist nach *κατὰ* ausgeglätteter Raum für 2 Zeichen zu sehen. Der Steinmetz hatte offenbar *κατατα* eingeschlagen. — *W.-F.* Z. 6 *κατὰ τὰν.* — 9 *κα[τὰ] τοὺς νόμους* — Stein ΚΑΤΟΥΣ. — 7 ist nach *ἅπτοιτο* unbenutzter Raum für 3 Zeichen. — 10 ist über *ὡς*, das die Zeile beginnt, und das Folgende das ursprünglich übergangene *τυγχάνοντες Ἀσίαν* nachgetragen. — *W.-F.* 10 *ζαμίας.* — 11 *ἄκυρος.* — 12 *ὡσαύτως*, dann *εἴ τί κα.* — 14 *κα* statt *καί* vor *ἐπάνω.* — 17 *Πυθοφάνεος.* — 18 nach *Καφίσωνα* ein sinnstörendes Komma; denn *Εὐκλείδα* ist Vatersname zu *Καφίσωνα.* Nach *Εὐκλείδα* ist ein kleiner unbeschriebener Raum bis zum Rande, in den man nicht *ν* einsetzen darf. Also auf der einen Seite hat *Καφίσων Εὐκλείδα* (s. Z. 17) die *ὠνά*; er ist *Φωκεύς*, und zwar *Λιλαιεύς.* — *W.-F.* 19 *Μαντία.* — Die Z. 14 und 19 genannten Fehler corrigierte schon *Dittenberger* a. a. O. — Eine Schwierigkeit steckt noch in Z. 13. Der Stein hat ΑΠΑΛΛΟΤΡΙΩΟ ΗΔΕΚΑ°. Wegen der Präsensform denke ich nicht an °*ωοίη (ἤ)δη*, sondern halte dafür, dass

der Steinmetz in seiner Vorlage abirrte und das vorhergehende δέ nochmals einschlug, statt beider aber nur das letztere Zeichen tilgte. Zum Verbum vgl. 1684, 8 *ἀπαλλοτριώουσα*. Ich übersetze Z. 12 ff.: „Desgleichen soll Asia auch nichts von dem veräussern dürfen, was sie als Eigentum des E. und seiner Erben bebaut; wenn sie's aber irgend thut, sei ihr Loskauf ungiltig". — Zu Z. 14 ff. vgl. 1817, 5.

Zeit. Priesterschaft IV (170—157/6); auf gleichem Polygon wie 1715—1717 und unmittelbar hinter ihnen. Vgl. 1722, 1838 u. 1839, 14/15

1719 *W.-F.* 54 *Cauer* 215. C. v. B.

Ἄρχοντος ἐν Ἐρινεῶι Ἀντιμάχου μηνὸς Λαφρίου, ἐν Δελφοῖς | δὲ ἄρχοντος Ἀνδρονίκου τοῦ Φρικίδα μηνὸς Θευξενίου, ἐπὶ τοῖσδε ἀπέδοτο Μνασίξενος Πηλεκλέα Ἐριναῖος τῶι | Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα Νικὼ τὸ || γένος Θρᾶισ(σ)αν, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε | Νικὼ τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα βίον. βεβαιωτῆρες κατὰ τὸν νόμον· | Νικέας Σωσιξένου Δελφός, Νικόμαχος Δεξίππου Δελφός. παραμεινάτω δὲ Νικὼ παρὰ Μνασίξενον, ἄχρι κα | ζώη Μνασίξενος, καὶ ἐκθρεψάτω παιδάρια δύο ἀδόλως καὶ τὰ λοιπὰ ποιοῦσα τὸ ποτιτασσόμενον || πᾶν τὸ δυνατὸν ἀνεγκλήτως. εἰ δέ τί κα μὴ ποιήση Νικὼ τῶν ποτιτασσομένων ὑπὸ Μνασιξένου, καθὼς | γέγραπται, δυνατὰ ἐοῦσα, ἐξέστω Μνασιξένω κολάζειν καθώς κα αὐτὸς θέλη καὶ ἄλ(λ)ω ὑπὲρ Μνασίξε|νον ὅν κα Μνασίξενος κελεύση ἀζαμίοις ὄντοις καὶ ἀνυποδίκοις πάσας δίκας καὶ ζαμίας. εἰ δέ τί κα πάθη Μνασίξενος, ἐλευθέρα ἔστω Νικὼ κυριεύουσα αὑτοσαυτᾶς καὶ ποιοῦσα ὅ κα θέλη καὶ ἀποτρέχουσα οἷς κα θέλη, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται ἐπὶ καταδουλισμῶι Μνασιξένου τελευτάσαντος, || βέβαιον παρεχόντων οἱ βεβαιωτῆρες τῶι θεῶι τὰν ὠνὰν κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | κύριοι ἐόντων συλέοντες ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος καὶ τῶν ἀρχόντων Νικόμαχος, ἰδιῶται Ξεναγόρας, Εὐκλεί|δας, Μένης, Κάρπος Δελφοί, Ξενίας, Καλλίερος, Καλλίστρατος Ἀμφισσεῖς. ἁ συγγραφὰ παρ' Εὐκλείδαν.

Das Original hat wirklich Z. 5 *Θρᾶισαν*, Z. 11 ΑΛΩ, *W.-F.* geben dort *Θρᾶισαν*, hier *ἄλ[λ]ω*. — Sowohl Z. 13 als 14 steht *θέλημ*; bei *W.-F.* fehlt Jota adscr. in Z. 13. — Zu Z. 9 vgl. 1425, 5. — Zur Namensform *Πηλεκλέα* vgl. böot. *Πειλεστροτίδας Θειβῆος* 1137. — Z. 14 fehlt der gen. zu *ἅπτηται*.

Zeit. Priesterschaft IV (170—157/6).

1720 *W.-F.* 55. C. v. B.

Ἄρχοντος ἐν Δελφοῖς Ἀνδρονίκου τοῦ Φριχίδα μηνὸς Ἐνδυσποιτροπίου, ἐν δὲ Θεσσαλίαι στραταγέον|τος Δαμοθοίνου μηνὸς Θύου ὡς Θεσσαλοὶ ἄγοντι, ἀπέδοτο Εὐκλείδας Θεοδότου Γυρτώνιος σῶμα ἀνδρεῖον ὧι ὄνομα | Ἀλέξανδρος, ὃν εἶχε ἐν τᾶι ὠνᾶι πάπον, τὸ γένος Μακεδόνα, τῶι Ἀπόλλωνι τῶι Πυθίωι, τιμᾶς ἀργυρίου μνᾶν τεσσά|ρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Ἀλέξανδρος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὅτωι ἐλεύθερος ἔσται || καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιῶν ὅ κα θέλῃ καὶ ἀποτρέχων οἷς κα θέλῃ. βεβαιωτῆρες | κατὰ τοὺς νόμους· Ἄλεξις Δαμοτέλεος Δελφός, Ἀγέπολις Εὐετήρου Θεσσαλὸς ἐκ Γυρτῶνος. εἰ δέ | τις ἐφάπτοιτο Ἀλεξάνδρου ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμε|νος Εὐκλείδας καὶ οἱ βεβαιωτῆρες Ἄλεξις καὶ Ἀγέπολις· εἰ δὲ μὴ παρέχοιεν, ὑπόδικοι ἔστωσαν κατὰ | τοὺς νόμους. ὁμοίως δὲ καὶ οἱ παρατυνχάνοντες κύριοι ἐόντω συλέοντες ὡς ἐλεύθερον ὄντα Ἀλέξαν||δρον ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, | Ταραντῖνος καὶ τῶν ἀρχόντων Ἄθαμβος Ἀβρομάχου, Ἄρχων Καλλία, ἰδιῶται Βούλων, Εὐκλείδας, Πραξίας, | Βάχχιος, Ἀρίστων, Καλλίμαχος, Διονύσιος, Τιμόκριτος, Ἀνδρόνικος, Νικέας, Φίλαγρος, Ἀστόξενος, Ἀντι|κράτης Φιλοξένου Λαρισαῖος.

W.-F. Z. 4 ἐφ' ὥιτε. — 6 Εὐκτήρου, zur Schreibung Εὐετήρου vgl Φιλ-ετήρ[ιος] GDI. 476, 39. — 8 Stein παπον. Wohl πάπ(π)ον (vgl. παπίας) Εὐ. mag an Ἀ. einen παιδαγωγός τε καὶ τροφεύς (vgl. 1719, 8) gehabt haben, gleichsam ein παππίδιον.

Zeit. Priesterschaft IV (170—157/6).

1721 *W.-F.* 56. C. v. B.

Ἄρχοντος Ἀμφιστράτου μηνὸς Ἀπελλαίου, ἀπέδοτο Κρατὼ Μεσατέος | τῶι Ἀπόλλωνι τῶι Πυθίωι παιδάριον ἐνδογενὲς ὧι ὄνομα Σωσικράτης, καθὼς | ἐπίστευσε τὰν ὠνὰν τῶι θεῶι Σωσικράτης, τιμᾶς ἀργυρίου μνᾶν δύο, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Εὐάγγελος Πά|τρωνος. παραμεινάτω δὲ Σωσικράτης παρὰ Κρατὼ ποιῶν τὸ ποιτασσόμενον πᾶν, | ἄχρι οὗ κα ζώῃ Κρατώ· εἰ δὲ μὴ παραμείναι καθὼς γέγραπται, ἄκυρος καὶ ἀτελὴς ἁ | ὠνὰ ἔστω. μάρτυροι· Ἰατάδας, Ἀριστίων, Φιλαίτωλος.

W.-F. geben Z. 5 ποτι- st. ποιτασσόμενον. Die Namensform Μεσατεύς Z. 1 auch 1708, 33; zu Ἰατάδας s. 1705, 14. — Κρατώ auch 1911, 1.

Zeit. Priesterschaft IV (170—157/6); auf gleichem Polygon wie 1719 und 1720 und unmittelbar hinter ihnen. Vgl. 1702, 12/13.

1722 *W.-F.* 57. C. v. B.

Ἄρχοντος Ἄρχωνος τοῦ Καλλία μηνὸς Ἐνδυσποιτροπίου, ἀπέδοτο Ἀτισίδας Ὀρθαίου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα γυναικεῖα τρία αἷς ὀνόματα Ἀντιγόνα τὸ γένος Ἰουδαίαν καὶ τὰς θυγατέρας αὐτᾶς Θεοδώραν | καὶ Δωροθέαν, τιμᾶς ἀργυρίου μνᾶν ἑπτά, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. βεβαι|ωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Εὔδοκος Πραξία Δελφός. καθὼς ἐπίστευσε Ἀντιγόνα καὶ Θευδώρα καὶ Δωροθέα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐ|λευθέραι εἶμεν καὶ ἀνέφαπτοι ἀπὸ πάντων τὸν πάντα βίον. εἰ δέ τις ἅπτοι|το ἐπὶ καταδουλισμῶι αὐτᾶν, βέβαιον παρεχέτω ὅ τε ἀποδόμενος Ἀτεισίδας καὶ ὁ βεβαιωτὴρ Εὔδοκος· εἰ δὲ μὴ παρέχοιν βέβαιον τὰν ὠνὰν τῶι | θεῶι ὅ τε ἀποδόμενος καὶ ὁ βεβαιωτήρ, πράκτιμοι ἐόντω κατὰ τὸν νόμον. | ὁμοίως δὲ καὶ οἱ παρα[τ]υγχάνοντες κύριοι ἐόντω συλέοντες | αὐτὰς ὡς ἐλευθέρας ἐούσας ἀζάμιοι ἐόντες καὶ | ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἀμύντας καὶ οἱ ἄρχοντες || Νίκαρχος, Κλέων Δαμοσθένεος, Ἁγίων Ἐχεφύλου, | ἰδιῶται Ἄρχων Νικοβούλου, Εὔδωρος Ἀμύντα.

W.-F. corrigieren selbst auf S. 313 in Z. 5 *Πραξία* statt *Πραξίδα*; sie geben Z. 8 *Ἀτισίδας*, offenbar um der Uebereinstimmung willen mit Z. 1, aber der Text der Inschrift giebt *Ἀτισ°* und *Ἀτεισίδας* neben einander, wie *Θεόδωραν* (Z. 3) und *Θευδώρα* (Z. 6). — *W.-F.* Z. 11 noch voll *παρατυγχάνοντες* — 15 *Ἵππαρχος* statt *Νίκαρχος*. Vgl. die Archonten in 1718, 16.

Zeit. Priesterschaft IV (170—157/6); auf gleichem Polygon wie 1719 und 1720, und unmittelbar vor der von 1723 bis 1729 reichenden Reihe, deren Nummern sämmtlich aus Priesterschaft IV sind. Vgl. 1718; 1839, 14/15.

1723 *W.-F.* 58. C. v. B.

Ἄρχοντος Κλέωνος μηνὸς Ποιτροπίου, | [ἐ]πὶ τοῖσδε ἀπέδοτο Νικὼ Ἀθανίωνος τοῖ Ἀπόλλωνι τοῖ Πυθίοι σῶμα ἀνδρεῖον ὧι ὄνομα Φαινέας, τειμᾶς ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τειμὰν || ἔχει, καθὼς διεπίστευσαν Φαινέας καὶ Ἀπολλόδωρος ὁ Σωπάτρου τῶι θεῶι τὰν ὠνάν, ὥστε παραμεῖναι | Φαινέαν παρὰ Ἀπολλόδωρον, ἕως κα ζῇ Ἀπολλόδωρος, | καὶ γηροτροφῆσαι Φαινέαν Ἀπολλόδωρον τὸν Σωπάτρου, | ἐπεὶ ἔδωκε Ἀπολλόδωρος ὑπὲρ Φαινέαν Νικοῖ τὰς πέντε | μνᾶς.

ποείτω δὲ Φαινέας Ἀπολλοδώροι πάντα τὰ δυνατὰ ἀ[ν]εκκλήτως καὶ νυκτὸς καὶ ἁμέρας, καὶ μὴ ἐνκαταλιπέτω Φαινέας Ἀπολλόδωρον μηδεμίαι παρευρέσει· εἰ δὲ μή, ἀγώγιμος ἔστω | Φαινέας πανταχόθεν ἐκ(κ) πάσας πόλιος καὶ ἱεροῦ Ἀπολλοδώροι καὶ ἴ | κά τινι ἄλλοι συντάξῃ Ἀπολλόδωρος, καὶ ἐξέστω Ἀπολλοδώροι || καὶ ἄλλοι ὑπὲρ Ἀπολλόδωρον ὄν κα Ἀπολλόδωρος κελεύσῃ κολάζειν | Φαινέαν τρόποι οἷ κα θέλωσιν· ἴ τι ἁλίσκοιτο Φαινέας κακοτεχνῶν καὶ | μὴ ποιῶν τὰ γεγραμμένα, πλὰν μὴ πωλησάτω Ἀπολλόδωρος Φαινέαν. | ἐπεὶ δέ κα γηροτροφήσῃ Φαινέας Ἀπολλόδωρον ἀνεκκλήτως καὶ θάψῃ καὶ τὰ νομιζόμενα ποήσῃ πάντα ὅσα νομίζεται τοῖς τεθνακότοις, ἐλεύθερος ἔσ[τω] καὶ || ἴ τις ἐφάπτοιτο Φαινέα, κύριος ἔστω συλέων αὐσαυτὸν καὶ ἄλλος ὁ θέλων ἀ[ζ]άμιοι ὄντες καὶ ἀνυπόδικοι. βεβαιωτῆρες κατὰ τὸν νόμον· οἱ Νικοῦς υἱοὶ καὶ Ἀρίστωνος Δαμοφάνης, | Ἀθανίων. μάρτυρες· οἱ ἱε[ρεῖς] τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος, ἰδιῶται Ἀλέξων, Εὐκ[(λ)]είδας, | Πάτρων, Ἀριστόλαος.

Die Nummern 1723—1729 sind mit grösseren und tieferen Zeichen eingeschlagen: H. 0,01, während die vorhergehenden nur 0,007—0,008 messen, die in No. 1730 sogar nur 0,005.

W.-F. Z. 2 *ἐπί.* — 9 *τᾶς πέντε.* — 10 *ποιείτω, Ἀπολλοδώρωι.* — 13 *ἐκ πάσας* (vgl. Ditt. 143, 40 *ἐκκ τῶν ἰδίων*) — Für den Uebergang von Z. 13/14 geben *W.-F.*, was lückenhaft, *καί κά τινι*; die Z. 13 schliesst aber KAII, also *καὶ ἴ* (s. Z. 16, 20). — Das *ν ἐφελκ.* in Z. 16 (*θέλωσιν*) fand ich bestätigt. — 18 steht wie Z. 10/11 *ἀνεκκλήτως* (vgl. 1729, 11), *W.-F. ἀνεγκλήτως* in Z. 18. — 19 *ἔστω.* — 20 ohne *ἄλλος* vor *ὁ θέλων*, dann *ἀζάμιοι.* — 22 *ἱερεῖς, Ἀλεξίων* (vgl. 1729, 20), *Εὐκλείδας*, der Stein hat °KΔ°. — Zu dem besonderen Falle der *παραμονά* vgl. 1694.

10 Casus auf *-οι* stehen (vgl. zu 1724, 1726, 1729) gegenüber *ῶι* (Z. 3) und *τῶι θεῶι* (Z. 6). — Die Inconsequenz in Schreibungen wie 10 *ποείτω*, 17 *ποιῶν*, 19 *ποήσῃ* findet sich auch anderwärts, s. Index; auffällig hier auch *τειμᾶς* und *τειμάν* in Z. 4 gegenüber *Νικώ* Z. 1, *Νικοῖ* 9, *Νικοῦς* 21.

Zeit. Priesterschaft IV (170—157/6).

1724 *W.-F.* 59. C. v. B.

Ἄρχοντος Κλέωνος τοῦ Δίωνος μηνὸς Δαιδαφορίου, ἐπὶ τοῖσδε ἀπέδοτο Σώτιμος Μένωνος Δελφὸς τῶι Ἀπόλλωνι τοῖ Πυθίοι σῶμα γυναικεῖον ἇι ὄνομα Φίλα τὸ γένος | Σαρμάτισσ[α]ν, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει, καθὼς ἐπίστευσε τῶι θεῶι | Φίλα τὰν ὠνάν, ἐφ' ὧιτε αὐτὰν εἶμεν ἐλευθέραν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα

βίον, ποεοῦσαι ὅ κα ⁝ θέλῃ καὶ ἀποτρεχοῦσαι οἷς κα θέλῃ. βεβαιωτήρ· Κλέανδρος Τείσωνος. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ταραντῖνος, Ἀμύντας· Καλλίερος, Πάτρων, Ξενοκράτης, Καλλίστρατος, Δαμοκράτης, [Β]ούλων, Σωσίας, Δαμοσθένης.

Wegen der Zeichen s. zu 1723.

W.-F. Z. 2 *Σαρμάτισσαν.* 4 *ποέουσαι.* — 5 *ἀποτρέχουσαι.* Der Steinmetz, dem eine Wendung wie *ἔστω, ἐξέστω, ἐξουσία ἔστω* vorschwebte, meinte natürlich *ποεούσαι* und *ἀποτρεχούσαι*; vgl. solche Mischungen der Formeln in 1778, 6; 1918, 12.

Dem *τοῖ Πυθίοι* (Z. 2) steht 2 *τῶι*, 3 *τῶι θεῶι* und 4 *ὥιτε* gegenüber, s. 1723, 1726, 1729. — *Σώτιμος* s. 1917, 9/10

Zeit. Priesterschaft IV (170—157/6)

1725 *W.-F.* 60. C. v. B.

Ἄρχοντος Ξενέα μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Νεοπάτρα Ὀρθαίου Δελφὶς τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Λύσιππος, τιμᾶς ἀργυρίου μνᾶν τριῶν καὶ ἡμιμναίου, καθὼς ἐπί|στευσε Λύσιππος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὥιτε ἐλεύθερον εἶμεν αὐτὸν καὶ ἀνέφαπτον. βεβαιωτὴρ κατὰ | τὸν νόμον· Δαμένης Ὀρέστα Δελφός. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ταραντῖνος, Ἀμύν|τας καὶ οἱ ἄρχοντες Ἀριστοκράτης, Ἀρχίας, Δαμοφάνης, ἰδιῶται Φίλαγρος Διοδώρου, | Εὐδαμίδας, Στράτων Φιλοδάμου.

Wegen der Zeichen s. zu 1723.

Zum Texte bei *W.-F.* ist nichts hinzuzufügen.

Zeit. Priesterschaft IV (170—157/6).

1726 *W.-F.* 61. C. v. B.

Ἄρχοντος Ξενέα μηνὸς Δαιδαφορίου, ἐπὶ τοῖ[σ]δε ἀπέδοτο Μικκύλος Λαδίκου Χαλειεὺς τοῖ Ἀπόλλωνι τ[οῖ Π]υθίοι σῶμα γυ|ναικεῖον οἶ ὄνομα Λυσώ, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει, καθὼς αὐτὰ ἐπίστευσ[ε] Λυσὼ τοῖ θεοῖ τὰν | ὠνάν, εὐδοκεούσας τᾶς θυγατρὸς αὐτοῦ Δρακοντίδος. παραμεινάτω δὲ Λυσὼ παρὰ Μικκύλον ἕως κα ζῆ ποέουσα τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατόν. εἰ δέ κα ἢ μὴ παραμένῃ ἢ μὴ ποῇ τὸ ποτιτασσόμενον Λυσὼ Μικκύλοι, κύριος ἔ|στω κολάζων ὡς κα θέλῃ. εἰ δέ τί κα πάθῃ Μικκύλος, ἐλευθέρα ἔστω Λυσὼ καὶ ἀνέφαπτος τὸν πάντα χρόνον ἀπὸ | πάντων. βεβαιωτὴρ κατὰ τὸ σύνβολον· Σωσίνεικος Εὐδόκου Δελφός.

κύριος δὲ ἔστω καὶ ἄλλος ὁ παρατυγχάνων προιστάμενος ἐπ' ἐλευθερίαι ἀζάμιος ἐὼν καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας πάσας. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ταραντῖνος, Ἀμύντας καὶ οἱ ἄρχοντες Ἀριστοκράτης, Ἀρχίας, Δαμοφάνης, ἰδιῶται Εὔδοκος, | Πραξίας, Φίλων, Ἀρχέλαος.

Wegen der Zeichen s. zu 1723.

W.-F. Z. 1 *τοῖσδε*, dann [*τοῖ*] *Πυθίοι*. — 2 lassen sie *αὐτά* vor *ἐπίστευσ[ε]* ganz weg. — 3 *θυγατέρος αὐτοῦ Δ[ρ]ακοντίδος*. – 6 *Σωσίνικος* statt °*νειкος*. — 8 *Εὔδικος* statt °*δοκος*, offenbar derselbe, der 1722, 5, 9 Zeuge ist. Hier ist er mit seinem Vater, der nach ihm genannt wird, Zeuge, während sein Sohn *Σωσίνεικος* für *Λυσώ* die Bürgschaft übernimmt, so dass unsere No. 1726 den Sohn, Vater und Grossvater eines Geschlechtes nennt. S. Pomtow, Fleck. Jahrb. 1889, 560. Für die Dative Sg. der 2. Decl. begegnen durchgängig Formen auf *-οι*, Z. 1 *τοῖ*, *τ[οῖ]* [*Π*]*υθίοι*, 2 *οἷ*, *τοῖ θεοῖ*, 3 *Μικκύλοι*; vgl. zu 1723, 1724. Zu beachten daneben die Schreibungen *Σωσίνεικος* (Z. 6), *σύνβολον* (Z. 6).

Zur Phrase *προιστάμενος ἐπ' ἐλευθερίαι* vgl. 1938, 17/19.

Zeit. Priesterschaft IV (170—157/6).

1727 *W.-F.* 62 C. v. B.

[Σ]τραταγέοντος τῶν Φωκέων Ἀριστοτέλεος τοῦ Ἀρισιάρχου μ[η]νὸς πρώτου, ἐν δὲ Δελφοῖς ἄρχοντος Ξενέα | τοῦ Βαβύλου μηνὸς Ἡραίου, ἐπὶ τοῖσδε ἀπέδοτ[ο Ἀ]ριστέας Ἀριστοδάμου Στίριος τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα ἀνδρεῖον ὧι ὄνομα Πρῶτος Π[ρ]ώτου τὸ γένος Σειδώνιον, τιμᾶς ἀργυρίου μνᾶν ὀκτώ, καὶ τὰν τιμὰν | ἔχει πᾶσαν, καθὼς ἐπίστε[υ]σε Πρῶτος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερον εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα βίον, ποιοῦντα ὅ κα θέλη καὶ ἀποτρέχοντα οἷ κα θέλη. βεβαιωτῆρες | κατὰ τοὺς νόμους τᾶς πόλιος· Δαμένης Ὀρέστα Δελφός, Ἀρχιάδας Ἀριστέα Στίριος. βέβαιον δὲ παρεχέτωσαν ὅ τε ἀποδόμενος καὶ οἱ βεβαιωτῆρες τὰν ὠνὰν κατὰ τοὺς νόμους | τᾶς πόλιος. κύριος δὲ ἔστω Πρῶτος αὐτοσεαυτὸν συλέων καὶ οἱ παρατυγχάνοντες | ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· οἱ (ἱ)ερεῖς τοῦ Ἀπόλ||λωνος Ἀμύντας, Ταραντῖνος καὶ οἱ ἄρχοντες Ἀριστοκράτης, Ἀρχίας, Δαμοφάνης, | ἰδιῶται Δίων Ἀριστοβούλου, Ἧρυς Πισιθέου, Κ[α]λλίερος, Σώδαμος Θευδώρου Λιλαιεύς, Ἀστόξενος Διονυσίου.

Wegen der Zeichen s. zu 1723.

W.-F. Z. 1 *στραταγέοντος*, dann *μηνός*. – 2 *ἀπέδοτο Ἀριστέας*. — 3 *Πρῶτος*

Πρώτου. — 4 *ἐπίστευσε.* — 5 *ο[ἶς] κα θέλη* - Stein ΟΙΚΑ. 8 *αὐτὸς ἑαυτοῦ* st. °*τόν.* — 9 *οἱ ἱερεῖς*, sieht aber auf dem Steine wie *οἱ (ἱ)ερεῖς* aus. — 11 *Καλλίερος.*

Zeit. Priesterschaft IV (170—157/6).

1728 *W.-F.* 63. C. v. B

Στραταγέοντος τῶν Φωκέων Ἀριστοτέλεος μηνὸς | Λαφρίου, ἐν δὲ Δελφοῖς ἄρχοντος Ξενέα μηνὸς Θεοξενίου, | ἀπέδοτο Πολυστράτα Λιλαιῒς, συνεπαινεουσᾶν καὶ τᾶν θυγατέρων Κλεοῦς καὶ Τιμοῦς, τῶι Ἀπόλλωνι τῶι Πυθίωι παιδάριον ὧ[ι] ‖ ὄνομα Νικίας, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε | [τὰν ὠνὰν] Νικίας τῶι θεῶι, ὥστε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτον | ἀπὸ πάντων τὸν πάντα χρόνον καὶ οἰκεῖν ὅπει κα θέλη. βεβαιωτῆρες· | Νικοκ(λ)ῆς Λιλα[ι]εύς, Εὐκράτης Δελφός. | μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, ‖ Ταραντῖνος καὶ οἱ ἄρχοντες Δάμων, Ξένων, Πολύων, | ἰδιῶται Φίλαγρος, Πολέμαρχος, Ἀντιχάρης.

Wegen der Zeichen s. zu 1723.

W.-F. Z. 4 *ὧι.* — 7 [*δ*]*πει.* — 8 *Νικοκ*[*λ*]*ῆς* — Stein °ΚΗΣ. — 8 *Λιλαιεύς.* — In Z. 6 steht wirklich die Vermengung von nom. u. acc. c. inf.; vgl. 1697, 5; 1813, 8; 1824, 5; 1899, 4/5.

Zeit. Priesterschaft IV (170 – 157/6).

1729 *W.-F.* 64. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν Παναιτώλου μηνὸς Ἀγυέου, ἐν δὲ Δελφοῖς ἄρχοντος Ξενέα μηνὸς Ἡρακλέου, | ἐπὶ τοῖσδε ἀπέδοτο Πάτρων Γλαυκίωνος Χαλειεύς, συνευδοκέοντος τοῦ υἱοῦ Κλέωνος, τοῖ Ἀπόλλωνι τῶι Πυθίωι ‖ σῶμα ἀνδρέον οἷ ὄνομα Καλλικράτης τὸ γένος οἰκογενής, | τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει, καθὼς αὐτὸς | ἐπίστευσε Καλλικράτης τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὧιτε ἐλεύθερον εἶναι καὶ ἀνέφαπτον ἀπὸ πάντων, ἐπεί κά τι πάθη Πάτρω[ν]. | παραμεινάτω δὲ Καλλικράτης παρὰ Πάτρωνα ἕως κα ζ[ῇ] Πάτρων, ποιῶν τὸ ποτιτασσόμενον πᾶν καὶ νυκτὸς καὶ ἁμέρας | ἀνεγκλήτως τὸ δυνατόν· εἰ δέ κα ἢ μὴ παραμένη ἢ μὴ ποῆ τὸ ποτιτασσόμενον Καλλικράτης Πάτρωνι, κύριος ἔστω κολάζων ὥς κα θέλη | καὶ ἄλλος ὃν κα Πάτρων κελεύση. εἰ δέ τις ἐφάπτοιτο Καλλικράτεος, ἐπεί κά τι | πάθη Πάτρων, κύριος ἔστω συλέων αὐσαυτὸν καὶ ἄλλος ὁ παρατυγχάνων ἐπ' ἐλευθερίαι ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας [κ]αὶ ζα-

μίας. κύριος δὲ ἔστω Καλλικράτης ποιῶν ὅ κα θέλη καὶ ἀποτρέχων [ο]ἷς | κα θέλη. βεβαιωτῆρες κατὰ τὸν νόμον· Μικκύλος Λαδίκου Χαλειεύς, Πραξίας | Εὐδόκου Δελφός. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ταραντῖνος, Ἀμύντας καὶ οἱ ἄρχοντες Δάμων, Ξένων, Πολύων, ἰδιῶται Γλαῦκος Ξένωνος, Ἀρχέλαος ‖ Πραοίχου, Ἀλέξων Χαριξένου, Σωσίας Ξένωνος, Ἀπολλόδωρος Σωπάτρο[υ].

Wegen der Zeichen s. zu 1723.

W.-F. Z. 5 *οἰκογενῆ*, der Stein ΝΗΣ, also mit Attraktion an den Relativsatz wie 1864, 2; 1905, 2. — 8 *Πάτρων*. — 9 *ζῆ*, ich finde nach Ι das Zeichen ausgeschlagen. — 15 *καὶ ζαμίας*. — 16 *οἷς*. — 20 *Σωπάτρου*.

Neben *τῶι Πυθίωι* (Z. 4), *τῶι θεῶι*, *ἐφ' ὧιτε* (Z. 7) steht Z. 4 *τοῖ* und 5 *οἱ*. S. 1723, 1724, 1726, 1742. — Die Form *ἀνδρέον* st. *ἀνδρεῖον* kehrt 1758, 3 wieder und ist neben *Ἡρακλέου* (Z. 2) consequent. — Die attische Form *εἶναι* in Z. 8 ist sicher. — Die Assimilation in *ἀνεκκλήτως* steht 1723 zweimal, Z. 10/11 und 18. — Ueber die Familie, zu der *Πραξίας Εὐδόκου* gehört (Z. 17), s. zu 1726 und Pomtow, Fleck. Jahrb. 1889, 560 ff.

Zeit. Priesterschaft IV (170—157/6).

1730 *W.-F.* 65. C. v. B.

Ἄρχοντος ἐν Δελφοῖς Αἰακίδα τοῦ Φιλαιτώλου, ἐν δὲ Αἰτωλίαι στραταγέοντος Θύα, ἀπέδοτο Φιλλέας Φίλωνος Τριτεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἀγαθόκλεια, τὰν ἔλαβε παρὰ Λυκίσκας, τιμᾶς ἀργυρίου μνᾶν ἓξ στατήρων εἴκοσι, καὶ τὰν τιμὰν ἔχει, καθὼς ἐπίστευσε Ἀγαθόκλεια τὰν ὠνὰν τῶι θεῶι, ‖ ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸμ πάντα βίον, ποιέουσαν | ὅ κα θέληι· εἰ δέ τις ἐφάπτοιτο Ἀγαθοκλείας ἐπὶ καταδουλισμῶι, κύριος ἔστω ὁ πα|ρατυχὼν συλέων Ἀγαθόκλειαν ἐλευθέραν οὖσαν κατὰ τὰν ὠνὰν τοῦ θεοῦ ἀζάμιος ὢν καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. βεβαιωτῆρες κατὰ τὸ σύμβολον | καὶ κατὰ τοὺς νόμους τᾶς πόλιος τῶν Δελφῶν· Φίλων Φιλλέα Τριτεύς, Ἀντιχάρης ‖ Ἀξαράτου, Στράτων Λυσιμάχου Δελφοί. μάρτυρες· ὁ ἱερεὺς Ταραντῖνος καὶ ὁ ἄρχων Νικόμαχος καὶ ἰδιῶται Ἄθαμβος, Θεύδοτος, Μένης, Ἐμμενίδας, Φίλων, Εὐκλείδας.

Wegen der Zeichen s. zu 1723.

W.-F. Z. 1 *Αἰτωλοῖς* st. °*λίαι*. — 11 fehlt *καὶ* vor *ἰδιῶται*. — Nach *θέληι* Z. 6 sind 3 Zeichen ausgeschlagen. — Der Priestername ist falsch; wir erwarten entweder *Ἄθαμβος* oder *Ἀμύντας*; ersterer steht irrtümlicherweise unter der Privaten.

Zeit. Priesterschaft III: 173/172.

1731 *W.-F.* 66 C. v. B.

Ἄρχοντος Ἄρχωνος τοῦ Νικοβούλου μηνὸς Εἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Εὐφρόνιος Ζωΐλου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Κίντος τὸ γένος ἐνδογενῆ, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπί|στευσε Κίντος τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὅτω ἐλεύθερος εἶμεν τὸμ πάντα ‖ βίον καὶ ἀνέφαπτος ἀπὸ πάντων. βεβαιωτῆρες κατὰ τὸν νόμον τᾶς πόλι|ος τῶν Δελφῶν Ἄθαμβος Ἀθανίωνος, Ἐμμενίδας Καλλία. παραμεινάτω δ(ὲ) Κίν|τος παρὰ Εὐφρόνιον ἄχρι οὗ κα ζώη Εὐφρόνιος, ἀνένκλητος ὢν καὶ ποιῶν τὸ | ποτιτασσόμενον πᾶν καὶ τρέφων Εὐφρόνιον καὶ εὐσχημονίζων καὶ τὰς | συμβολὰς ἐν τὰς φυλὰς διδοὺς τὰ δίκαια ὑπὲρ Εὐφρόνιον, καὶ ἐπεί κα ἀπο|θάνη, θαψάτω Κίντος καὶ τὰς ἀλλαθεάδας ποησάτω καθὼς νομίζεται | καὶ (ἐπεί κα) ποιήση καθὼς γέγραπται, ἐλεύθερος ἔστω κατὰ τὰν ὠνὰν τοῦ θεοῦ· εἰ δὲ μὴ ποιέοι τὸ ποτιτασσόμενον Εὐφρονίωι Κίντος ἢ μὴ τ[ρέ]φοι | Κίντος, κύριος ἔστω Εὐφρόνιος ποιέων ὅ κα θέλη Κίντον. μάρτυρε[ς· ο]ἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ταραντῖνος, Ἀμύντας καὶ οἱ ἄρχοντες ‖ Χαρίξενος, Σώτιμος, Νικόμαχος καὶ ἰδιῶται | Διόδωρος, Μένης, Ἧρυς, Φίλαγρος.

W.-F. Z. 6 *παραμεινάτω [δὲ] Κίν τος*, der Steinmetz überging ε und schlug °ΩΔΚ° ein. — Zu 11 ergänzen sie auf S. 306 die eingesetzten Worte. Vielleicht überflüssig wegen des Satztones. — 12 *τρέφοι*. — 13 *μάρτυρες· οἱ*. — *Εὐφρόνιος Ζωΐλου* auch in No. 1742. Ueber *ἀλ-λαθ-εάδες* (1775, 29; 1796, 5) „Erinnerungsfeierlichkeiten" handele ich anderwärts.

Zeit. Priesterschaft IV (170—157/6).

1732 *W.-F.* 67. C. v. B.

Ἄρχοντος Εὐαγγέλου τοῦ Σωδαμίδα μηνὸς | Εἰλαίου, ἀπέδοτο Κάλλων Ἀριστοδάμου, συνευδοκεούσας καὶ τᾶς γυναικὸς Ἀγαθοῦς, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Λύσιον τὸ γένος Ἀμβρυσσίαν, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν | ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Λύσιον τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὥιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ | πάντα βίον. παραμινάτω δὲ Λύσιον παρὰ Κάλλωνα καὶ Ἀγαθὼ ἄχρι | κα ζώωντι Κάλλων καὶ Ἀγαθώ, ποιέουσα τὸ ποτιτασσόμενον πᾶν ‖ τὸ δυνατὸν ἀνενκλήτως. εἰ δέ τί κα πάθωντι Κάλλων καὶ Ἀγαθώ, | κυρία ἔστω Λύσιον ἀποτρέχουσα οἷς κα αὐτὰ θέλη καὶ ποιέουσα ὅ ⟨τ⟩ς κα | θέλη. βεβαιωτὴρ κατὰ τὸν νόμον· Φίλων Δικαίας. εἰ δέ τις αὐτᾶς ἅπτοιτο | ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι

τὰν ὠνὰν οἵ τε ἀποδόμενοι καὶ ὁ βεβαιωτήρ· εἰ δὲ μὴ παρέχοιν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον ‖ τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες | ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. | μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος καὶ οἱ ἄρχοντες Βάχχιος, | Εὔδοκος, Καλλίμαχος, ἰδιῶται Πολύων Τιμοκλέος, Ἀρχέλαος, Φρῦνος, Εὐκλείδας, Τιμόκριτος.

W.-F. Z. 8 *παραμ[ε]ινάτω.* — 11 *ποιέουσα οἷς κα θέλῃ.* — 14 *ἐόντω.* — 17 *Βάκχιος*, wie 1733, 9. — Um den letzten Namen von Z. 18 noch auf die Zeile zu bringen, schlug der Steinmetz °*κριτος* in leichtem Bogen nach unten ein.

Der Genitiv *Δικαίας* Z. 12 setzt einen Nominativ masc. gen. auf *-α* voraus; über ähnliche Fälle aus Epidauros Bechtel, GDI. 3025; Verf. Stud. I, 233.

Zeit. Priesterschaft IV (170—157/6).

1733 *W.-F.* 68 C. v. B.

Ἄρχοντος Εὐαγγέλου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Εὐκλῆς Ἐτυμώνδα τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Ῥόθος τὸ γένος ⟨τὸ γένος⟩ Θρᾶικα, τιμᾶς ἀργυρίου μνᾶν | τεσσάρων, καθὼς ἐπίστευσε Ῥόθος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιέων ὅ κα θέλῃ καὶ ἀποτρέχων οἷς κα θέλῃ. βεβαιω|τῆρες κατὰ τὸν νόμον τᾶς πόλιος· Κλέων Δίωνος, Ἀστόξενος Διονυσίου. εἰ δέ τις ἐφάπτοιτο Ῥό|θου ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Εὐκλῆς καὶ οἱ βεβαιω|τῆρες Κλέων, Ἀστόξενος· εἰ δὲ μὴ παρέχοιεν βέβαιον τὰν ὠνὰν τῶι θεῶι, πράκτιμοι ἐόντω κατὰ τὸν νό|μον. κύριοι ἐόντω συλέοντες ὡς ἐλεύθερον ὄντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζα|μίας. μάρτυρες· οἱ ἄρχοντες Βάκχιος, Εὔδοκος, Καλλίμαχος καὶ οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραν|τῖνος καὶ ὁ προστάτας τοῦ ἱεροῦ Ξένων Ἀτεισίδα καὶ ὁ νε[(ω)]κόρος Μένης, ἰδιῶται Βαβύλος Αἰακίδα, Φίλαγρος, | Καλλίκων, Φίλων Ἀριστέα, Μαντίας Δαμοχάρεος, Εὐθυμένης.

Die Dittographie in Z. 2 tilgte der Steinmetz nur z. T., er schlug nur *εν* und *ς* aus. — Z. 8 auffällig das Asyndeton; wahrscheinlich überging aus Versehen der Steinmetz: *ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες*, vgl. No. 1734. — Die Namensform des Archonten ist in Z. 9 *Βάκχιος*, vgl. *Βάχχιος* in der vorigen Nummer. — Z. 10 hat der Stein NEO°, eine Mischform aus *νεω-°* und *ναο-κόρος*.

Zeit. Priesterschaft IV (170—157/6).

1734 *W.-F.* 69. C. v. B.

Ἄρχοντος ἐν Χαλείωι Φιλίστου μηνὸς Κοουτίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ἐμμενίδα μηνὸς Ἡραίου, ἐπὶ τοῖσδε ἀ[π]έδοτο Μίκκων Δωροκλέος Χαλειεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Λύκων οἰκογενῆ, τιμᾶς | ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Λύκων τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος | ἀπὸ πάντων τὸμ πάντα χρόνον, ποιέων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέλη. βεβαιωτῆρες κατὰ τὸν νόμον τᾶς πόλι[ο]ς· Δείνων Ἡρακλείδα Χαλ⟨λ⟩ειεύς, Τιμόκριτος Εὐκλείδα Δελφός. εἰ δέ τίς κα ἐφάπτηται Λύκωνος ἐπὶ καταδουλισμῶι, βέ[β]αιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Μίκκων καὶ οἱ βεβαιωτῆρες Δείνων, Τιμόκριτος· εἰ δὲ μὴ παρέχοιεν | βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέον[τ]ες ὡς ἐλεύθερον ὄντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος | Ἀμύντας, Ταραντῖνος καὶ οἱ ἄρχοντες Ἀριστίων, Ἄσανδρος, Ἀριστόμαχος καὶ ἰδιῶται Εὐάγγελος Πάτρωνος, Βούλων, || Εὐκλείδας, Νικέας Ἀγησάρχου, Εὔδωρος Δελφοί, Δαμοτέλης Τρειτεύς.

Für den Monatsnamen aus *Χάλειον* schrieb ich mir auf: ΚΟΟΥ° oder ΚΟΘΥ möglich. Vgl. Hauss. no. 45 die Form *Κοου[τί]ου*. — *W.-F.* Z. 5 nur *Χαλειεύς*. — 6 *παρεχόντων*. — 7 *ἐόντω*. — Wegen *Τρειτεύς* (so! Z. 10) vgl. den Index. — Die 3 Archonten kehren in den folgenden Nummern mehrfach, 1737, 10 mit ihren Vatersnamen wieder.

Zeit. Priesterschaft IV (170—157/6).

1735 *W.-F.* 70. C. v. B.

Ἄρχοντος Ἐμμενίδα τοῦ Καλλία μηνὸς Δαιδαφορίου, ἀπέδοτο Τελεσὼ Μνασικράτεος Δελφίς, συνευδο|κέοντος καὶ τοῦ υἱοῦ Κλέωνος, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Λαδίκα τὸ γένος Σύραν, | τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει, καθὼς ἐπίστευσε Λαδίκα τῶι θεῶι τὰν ὠνάν, | ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸμ πάντα χρόνον, ποιέουσα ὅ κα θέλῃ || καὶ ἀποτρέχουσα οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Ἀστόξενος Διονυσίου. | εἰ δέ τις ἐφάπτοιτο Λαδίκας ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰ[ν] | ἅ τε ἀποδομένα Τελεσὼ καὶ ὁ βεβαιωτὴρ Ἀστόξενος· εἰ δὲ μὴ παρέχοιεν βέβαιον τὰν ὠνὰν | τῶι θεῶι, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον.

ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας ‖ μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ταραντῖνος, Ἀμύντας καὶ τοὶ ἄρχοντες Ἀριστίων, Ἄσανδρος, Ἀριστόμαχος, ἰδιῶται Πατρέας, Εὐκράτης, Ἀστόξενος, Κλέων, Ἀρτεμίδωρος, Χαρίξενος.

W.-F. Z. 6 *ὠνάν* voll. — Verletzt nur 5 Zeichen in Z. 4, 6, 9.

Zeit. Priesterschaft IV (170—157/6).

1736 *W.-F.* 71. C. v. B.

Ἄρχοντος Ἐμμενίδα τοῦ Καλλία μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Δαμένης Ὀρέστα τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Μίκκα, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε | Μίκκα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον, ποιοῦσαν ὅ κα θέλῃ. βεβαιωτὴρ | κατὰ τὸν νόμον· Ξενόκριτος Ταραντίνου. μάρτυρες· οἱ ἱερεῖς Ἀμύντας, Ταραντῖνος, ἰδιῶται Ἀγησίλαος, ‖ Ἐμμενίδας Δεξικράτεος, Μένης.

Der Freilasser kommt auch sonst vor, s. Index. *W.-F.* Z. 3 *ἐφ' ὧιτε*. Der Stein hat nur *ἐφ' ὧι*, und ich habe es gelassen. Schwerlich ist Versehen anzunehmen und *ἐφ' ὧι(τε)* zu schreiben. *ἐφ' ὧι* auch 1774, 4; 1820, 4 u. a.

Zeit. Priesterschaft IV (170—157/6).

1737 *W.-F.* 72. C. v. B.

Ἄρχοντος Ἐμμενίδα τοῦ Καλλία μηνὸς Ποιτροπίου, ἀπέδοτο Λάμιος | Λυκίδα Ναυπάκτιος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα | Καρπὶς οἰκογενῆ, ἐφ' ὅτωι ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων | τὸν πάντα βίον, καθὼς ἐπίστευσε Καρπὶς τῶι Ἀπόλλωνι τὰν ὠνάν, ‖ τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει βεβαιωτήρ· Χαρίξενος Ἐχεφύλου Ἀμφισσεύς. εἰ δέ τις ἐπιλαμβάνοιτο Καρπίδος ἐπὶ καταδουλισμῶι, κύριος ἔστω ὁ παρατυχὼν συλέων ἀζάμιος καὶ ἀνυ|πόδικος ἐὼν ὡς ἐλευθέραν οὖσαν. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας Εὐδώρου, Ταραντῖνος Ἄρχωνος καὶ οἱ ἄρ|χοντες Ἄσανδρος Διονυσίου, Ἀριστίων Ἄγωνος, Ἀριστόμαχος | Ὀλυμπογένεος, ἰδιῶται Ἀστόξενος, Ἀμύντας, Νικέας, Σώσιππος, | Ἡρακλείδας, Ἀρίστων Ἀμφισσεύς.

Ueberlieferung bei *W.-F.* genau. Die Inschrift ist bis auf 4 Zeichen gut erhalten. — In Z. 10 haben *W.-F.* S. 313 *Ἀγίωνος* statt *Ἄγωνος* schon berichtigt.

Zeit. Priesterschaft IV (170—157/6).

1738 *W.-F.* 73. C. v. B.

Ἄρχοντος Ἐμ(μ)ενίδα τοῦ Καλλία μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε | ἀπέδοτο Κλέων Κλεοξένου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Ἱστιαῖος τὸ γένος Σῦρον, τιμᾶς ἀργυρί|ου μνᾶν τεσσάρων, ἐφ' ὧιτε ἐλεύθερον εἶμεν καὶ ἀνέφα|πτον ἀπὸ πάντων τὸν πάντα βίον, καθὼς ἐπίστευσε | Ἱστιαῖος τῶι θεῶι τὰν ὠνάν, ποιέων ὅ κα θέλῃ. βεβαιωτὴρ | κατὰ τὸν νόμον τᾶς πόλιος· Αἰακίδας Φιλαιτώλου. | μάρτυρες· τῶν ἀρχόντων Ἀριστίων Ἄγωνος, Ἄσαν|δρος, ἰδιῶται Νίκαρχος, Νικόμαχος, Μαντίας, ‖ Εὐκλείδας.

W.-F. Z. 1 *Ἐμμενίδα*, der Stein giebt EMEN°.

Zeit. Priesterschaft IV (170—157/6). Die Priesternamen fehlen, aber 1738 steht hinter 1732—1737, die sämmtlich IV angehören, und 1738 hat gleichen Archont wie 1735—1737. Vgl. 1819, 1820.

1739 *W.-F.* 74. C. v. B.

Στραταγέοντος τ[ῶ]ν Αἰτωλῶν | Προάνδρου Φόλα μηνὸς Πανάμου, | ἐν Δελφοῖς δὲ ἄρχοντος Λαιάδα | μηνὸς Βουκατίου, ἐπὶ τοῖσδε ἀπέδοτο ‖ Στράταγος Πορθάονος Φυσκεὺς | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἀρτεμισία, τιμᾶς ἀργυρίου | μνᾶν τεσσάρων, τὸ γένος Ἀσιαγενῆ, καθὼς ἐπίστευσε Ἀρτεμισία τῶι Ἀπόλλωνι τῶι ‖ Πυθίωι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν | [κ]αὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα βίον, ποιέουσα ὅ κα θέλῃ καὶ ἀποτρέχουσα οἷς | κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον· Πορθάων | Στρατάγου Φυσκεύς. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλω|νος Ἀμύντας, Ταραντῖνος, τῶν ἀρχόντων Βάχχιος, | ἰδιῶται Εὐκλείδας, Ἀριστοκράτης, Ἀριστίων Ἄγω|νος, Ξένων Βούλωνος, Ξένων Κλ[έ]ωνος.

W.-F. Z. 1 *τῶν*. — 11 *καί*. — 13 *[Π]ορθάων*. — 17 *Κλ[έω]νος*. — Z. 7/8 zeigt, wie sich der Steinmetz versah; das weggelassene *τὸ γένος Ἀσιαγενῆ* setzte er hinter den Preis.

Zeit. Priesterschaft IV: August/September 170.

1740 *W.-F.* 75. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν Προάνδρου Φόλα μηνὸς | Πανάμου, ἐν Δελφοῖς δὲ ἄρχοντος Λαιάδα μηνὸς Βουκα|τίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀριστόκλεια Ἀγαθοκλέος Ναυπακτία, συνευδοκέοντος τοῦ υἱοῦ Στρατονίκου καὶ ὑπὲρ ‖ Ἀγαθοκλῆ τοῦ υἱοῦ Ζωΐλου, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα | ἀνδρεῖον ὧι ὄνομα Ἡρακλείδας τὸ γένος Ἀλεξανδρῆ, τιμᾶς | ἀργυρίου

μνᾶν τριῶν, καθὼς ἐπίστευσε Ἡρακλείδας τῶι θεῶι | τὰν ὠνάν, ἐφ' ὥιτε ἐλεύθερον εἶμεν αὐτόν, ποι(έ)οντα ὅ κα θέλῃ, καὶ ἀνέφαπτον ἐν παντὶ τόπωι ἀπὸ πάντων τὸμ πάντα χρόνον. || βεβαιωτὴρ κατὰ τὸν νόμον· Ἀριστόλαος Δάμω[ν]ος Δελφός, | Ἀγήσανδρος Ἀριστάρχου Καλλιπολίτας. μάρτυροι· οἱ ἱερεῖς τοῦ | Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος καὶ οἱ ἄρχοντες Ἀριστίων, | Βάκχιος, ἰδιῶται Ἀλέξανδρος, Ἀνδρόνικος, Δορκίνας, Βυριά|δας, Ἀρτεμίδωρος, Ἀντίκριτος, Καλλίερος, Ἐχέφυλος, Μέλις, || Εὐκλείδας Δελφοί.

Z. 8 hat der Stein ΠΟΙΟΝΤΑ.
Zeit. Priesterschaft IV: August/September 170.

1741 *W.-F.* 76. C. v. B.

Ἄρχοντος Κλευδάμου τοῦ Μαντία μηνὸς Ἰλαίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Λύκα Θρασυ[κ]λέος Δελφίς, | συνεπαινέοντος καὶ τοῦ υἱοῦ Σωνίκου, | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναι||κεῖον ἆι ὄνομα Σωτώ, τιμᾶς | ἀργυρίου μνᾶν τεσσάρων. καὶ | τὰν τιμὰν ἔχει, καθὼς ἐπίστευσε Σω|τὼ τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὥιτε ἐλευθέραν | εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν | πάντα βίον, ποιέουσαν ὅ κα θέλῃ. βεβαιω|τὴρ κατὰ τὸν νόμον· Πραξίας Εὐδόκου. | μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος, ἰδιῶται Ἀν|δρόνικος Φρικίδα, Εὐκλείδας Καλ||λείδα, Εὔδωρος, Σωτύλος.

W.-F. Z. 2 *Θρασυκλέος.* — S. zu 1726 über den Bürgen.
Zeit. Priesterschaft IV: Juni/Juli 168.

1742 *W.-F.* 77. C. v. B.

Ἄρχοντος Λαιάδα μηνὸς Ποιτροπίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Εὐφρόνιος Ζωΐλου, συνευδ|οκέοντος καὶ τοῦ υἱοῦ Θευδώρου, τῶι Ἀπόλλωνι | τοῖ Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα Ἀγαθά, τιμᾶς || ἀργυρίου μνᾶν τριῶν. (βε)βαιωτὴρ κατὰ τὸν νόμον· Κλέων Δίωνος. παραμεινάτω δὲ Ἀγαθὰ παρὰ Εὐφρόνιον ἀνένκλητος ἐοῦσα. εἰ δέ τί κα πάθῃ Εὐφρόνιος, παραμεινάτω Ἀγαθὰ πα(ρὰ) Θεύδωρον ἀπὸ τ[ᾶ]ς Λαιάδα ἀρχᾶς | ἔτη ἕξ, καὶ ἀποτρεχέτω ἐλευθέρα. μάρτυροι· τοὶ ἱαρεῖς τοῦ Ἀπόλλωνος Ταρ(α)ντῖνος, Ἀμύντας καὶ τοὶ | ἄρχοντες Βάκχιος, Ἀριστίων καὶ ἐκτὸς Ἀλέξων, | Μνασίθεος. ἐξέστω δὲ τιω[
unbenutzter Raum von $2^1/_2$ Zeile].

Die Inschrift ist zwar mit grossen, weiten Zeichen eingemeisselt, aber doch nicht mit Sorgfalt. Der Steinmetz überging die Silbe *βε* in Z. 5, die Silbe *ρα* in Z. 8 und das 2. *α* im Namen *Ταραντῖνος*. Nach der Nennung der Zeugen, die doch gewöhnlich den Schluss bilden, ist ein Nachtragspassus angefangen, aber unvollendet geblieben. Raum war genug da: 2½ Zeile sind leer gelassen. Was dem Freilasser oder Freigelassenen noch eingeräumt wurde, lässt sich nicht erraten; man kann an mehrere Formeln denken. Der Freilasser ist derselbe wie in No. 1731. Die Schreibungen *τῶι* und *τοῖ* neben einander in Z. 3/4 wie in 1729, 4. — *ἐκτός* wird Z. 11 „ausserdem" bedeuten. Das ist singulär.

Zeit. Priesterschaft IV: December/Januar 170/169.

1743 *W.-F.* 78. C. v. B.

Ἄρχοντος Ξενέα μηνὸς Ἡραίου, ἐπὶ τοῖσδε ἀπέδοτο Δαμοκράτεια | Καφισ⟨σ⟩ία Δελφὶς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα | Ῥοδία τὸ γένος [(Σ)]ύρ[α], συνεπαινέοντος ⟨ΑΕ⟩ *καὶ τοῦ πατρὸς Καφισία, τι|μᾶς ἀργυρίου μνᾶν δύο. βεβαιωτὴρ κατὰ τοὺς [ν]όμους τᾶς πόλιος· Σώφιλος, ‖ Νικέας Καφισία Δελφοί. καθὼς ἐπίστευσε τὰν ὠνὰν τῶι θεῶι Ῥοδία. π[αραμεινάτω δὲ Ῥοδία παρὰ] | Δαμοκράτειαν ἔτη πέντε ποιοῦσα τὰ δυνα[τ]ά· εἰ δέ κα παραμ[ε]ίνη Ῥο[δία πα]‖ρὰ Δαμοκράτειαν τὰ πέντε ἔτη, ἀποτρεχ[έ]τω Ῥοδία παρὰ Δαμοκρατείας οἷς κα θέλη ἐλευθέρα οὖσα καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον· εἰ δέ [τί]ς κα | Ῥοδίαν καταδουλίζοιτο, κύριος ἔστω ὁ παρατυχὼν συλέων κατὰ ‖ [τ]ὰν ἀναγραφὰν καὶ ὠνὰν τὰν ἐν τῶι ἱαρῶι ἀναγεγραμμέναν· | εἰ δέ κα μὴ παραμείν(η) Ῥοδία παρὰ Δαμοκράτειαν μηδὲ [τὰ δυνατὰ ποιήσ]η τὰ | πέντε ἔτη, κυρία [ἔ]στω Δαμοκράτεια ἢ ἄλλος ὑπὲρ Δαμοκράτειαν ποιῶν | [ὅ κα θέλη Ῥοδίαν. μάρτυ]ρες· τοὶ ἱαρεῖς τοῦ Ἀπόλλωνος Ταραντῖνος, Ἀμύντας καὶ τοὶ ἄρχοντες Ἀριστοκράτης Λυκίσκου, Ἀθανίων Ἀρίστ[.....], ‖ Ἀρχίας Ἀρχελάου, ἰδιῶται Ἐμμενίδας, Δεξικράτης, Καλλικλῆς.*

W.-F. Z. 2 *Καφισία* mit einem *σ* wie in Z. 3 und 5. — 3 *τὸ γένος Σύρα*, der Stein hat jetzt nur ΤΝ..ΥΡ. — 3 *συνευδοκέοντος* st. *συνεπαινέοντος*. Mir ist unklar, wie der Steinmetz zu dem Versehen nach diesem Genitive kam. — *W.-F.* Z. 4 *νόμους τᾶς πόλι[ος·]*, aber *πόλιος* ist klar, dahinter entweder *Σώφιλος* oder ⟨ς-⟩ *Φίλων*. — 5 *Νικ[ί]ας Καφισία Δελφ[ό]ς*, aber *Νικέας* und *Δελφοί* sind deutlich. — 6 *δυνατά· εἰ δέ κα παραμείνη*. — 7 *ἀποτρεχέτω*, am Ende [*θε*-], was lesbar ist. — Zu Anfang von Z. 7 steht nach *ρα*: ΔΑΜ, also nach *δ* wollte der Steinmetz schon *μ* einschlagen, machte aber noch *α* daraus. — *W.-F.* Z. 8 *εἰ δέ* [*τίς κα*]. — 9 *ὁ παρατυχὼν* [*συλέων κατά*]. — 10 [*τὰ*]*ν*. — 11 *παραμεί*[*νη*], dann *μηδὲ* .....*η τὰ*.

Da diese Zeile der Bestimmung in 5/6 entspricht, kann nur [τὰ δυνατὰ ποι]ῇ oder ποιῆσ]η eingesetzt werden. — *W.-F.* Z. 12 ἔστω, am Schlusse ποι... | .... Μάρτυ]ρες. Ich sah noch die Schlusslaute °ῶν, die man auch sonst erraten hätte. Ueber die Einsetzung in die Lücke kann kein Zweifel bestehen; es hilft 1731, 13, wo ποιεῖν τινά τι „jem. etwas anthun" im Sinne von κακὰ ποιεῖν d. i. κολάζειν τινά begegnet (so auch 1801, 3). — *W.-F.* 14 Ἀθανίων Ἀριστ[.....]; erwartet wird Δαμοφάνης, vgl. 1725—1727. — Meine Notizen reichen nur bis Z. 12.

Zeit. Priesterschaft IV (170—157/6).

1744 *W.-F.* 79.

Ἄρχοντος ἐν Δελφοῖς Θευξένου μηνὸς Ἀμαλίου, ἀπέδοτο Θεόδωρος | Εὐφρονίου Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον οἷ ὄνομα Πυῤῥίας τὸ γένος οἰκογεν[ῆ], | τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Πυῤῥία[ς] | τῶι θεῶι τὰν ὠν|άν, ἐφ' ὧιτε] ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων καὶ ἀποτρέχ[ειν οἷς] | κα θέλῃ. βεβαιωτῆρες· Δρομοκλείδας Ἁγίωνος, Ἄθανβος Ἀθανίωνος, κατὰ τὸν νόμον. | εἰ δέ [τίς] κα ἐφάπτηται Πυῤῥία, βέβαι[ον παρεχόντω τὰν ὠνὰ|ν ὅ τε ἀποδόμενος Θεύδωρος καὶ [οἱ] βεβαιωτῆρες Δρομ|οκλεί]δας, Ἄθαμβος. καὶ ὁμοίως ὁ παρατυχὼν κύριος ἔστω συλέων | Πυῤῥίαν ὡς ἐλεύθερον ὄντα ἀνυπεύθυνος ὢν πάσας δίκας καὶ ζαμίας. μάρτυροι· | οἱ ἱαρεῖς Ἀμύντας, Ταραντῖνος καὶ τοὶ ἄρχοντες Πολέμαρχος Πανσανία, [Φι]λοκράτης [Ξένωνος,] | [Ἄρχ|ω[ν] Νικοβούλου, ἰδιῶται Δίων Φιλιστίωνος, Καλλί[κων Ἡ]ράκωνος, Εὐφρόνιος | Ἡρα[κλείδ]ου.

Vgl. die Bemerkung zum Texte von 1710. Der Abklatsch misslang gänzlich. — Z. 9 Anfang wird man οἱ, das man um des folgenden τοί willen zu ändern sich versucht fühlen könnte, belassen, wie dieselbe Inschrift ja auch Ἄθανβος (Z. 5) und Ἄθαμβος (Z. 7), Θεόδωρος (Z. 1) und Θεύδωρος (Z. 6) neben einander hat. — *W.-F.* Z. 9/10 Φιλοκράτης ....ω[ν]. Zur Zeichenzahl stimmt | [Ἀρχ]ω[ν], was ich in Z. 10 nach 1747, 16 und 1748, 13 einsetze. Der Vatersname zu Φιλοκράτης ist aus 1776, 43 zu ermitteln.

Zeit. Priesterschaft IV (170—157/6).

1745 *W.-F.* 80.

Στραταγέοντος Εὐπολέμου τὸ δεύτερον μηνὸς Ἑρμαίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ξενο|χάρεος μηνὸς Θευξενίου, ἀπέδοτο Κλεύμαντις Φιλοδάμου Τολφώνιος τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Σωσικράτεια τὸ γένος ἐνδογενῆ,

συνευ|δοκέοντος τοῦ υἱοῦ Φιλοδάμου, τιμᾶς ἀργυρίου μνᾶν πέντε. βεβαιωτῆρες κατὰ τὰν συμβολὰν καὶ κατὰ | τοὺς νόμους τᾶς πόλιος· Ἀριστόλαος Δάμωνος, Χαιρεσίλαος Χαιρέα Τολφώνιοι, Αἰακίδας Βαβύλου Δελφός. καθὼς ἐπίστευσε Σωσικράτηια τῶι θεῶι τὰν ὠνάν. βέβαιον δὲ παρεχόντων ὅ τε ἀποδόμενος καὶ οἱ βεβαιωτῆρες τῶι θεῶι τὰν ὠνάν. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος· Ἀρχέλαος, Μνάσων, Καλλίερος, Πάτρων, Λύκος, Δείνων, Καλλίας, Ἀρχέλαος, Κλευφάνης, Ξένων, Καλλικλῆς, Κρίτων, | Νίκων, Θράσων, Δαμάνθης, Πολέμαρχος.

Vgl. die Bemerkung zum Texte von 1710. Es war mir unmöglich, einen Papierabdruck von dieser Inschrift zu nehmen. — Das Ethnikon *Τολφώνιος* für *Τολοφώνιος* ist bemerkenswert. — Die Namensform *Χαιρ-εσίλαος* ist wie *Πρωτ-εσίλαος* (Vf. Stud. I, 62) zu beurteilen; besonders klar ist die Bildung in *Μετ-εσίλαος* (Bull. 1887, p. 310). — Die Priesternamen *Ἀμύντας καὶ Ἄθαμβος* sind Z. 7 weggelassen worden; falsch ist also, dass *W.-F.* nach *οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος* kein Komma setzen. Unter den Zeugen kommen *Κλευφάνης* und *Κρίτων* vor, die in den Decreten 725—727 bei Lebas als Buleuten stehen. Siehe dagegen *W.-F.* 18, 264. — Zur Schreibung *Σωσικράτηια* vgl. *Ἡρακλήιου* 1685, 1 u. a., s. Index.

Zeit. Priesterschaft III: März/April 175.

1746 *W.-F.* 81. C. v. B.

Στραταγέοντος ⟨τος⟩ τῶν Φωκέων Πυθέα Ε[. . . .]εος μη[νὸς] ἐνάτου, ἐν Δελφοῖς δὲ | ἄρχοντος Κλευδά[μ]ου τοῦ Μαντία μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Δωροξένα Λιλαιῖς | τῶι Ἀπόλλωνι τῶι Πυθίω[ι] σῶμα γυναικεῖον ἇι ὄνομα Σωστράτα, τιμᾶς ἀργυρίου μνᾶν | τεσσάρων, καθὼς ἐπίστευσε Σωστράτα τῶι θεῶι τὰν ὠνάν, ὥστε τὰν προτερασίαν | ὠνὰν ἀρμέναν εἶμεν καὶ ἄκυρον, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων | τὸμ πάντα βίον, ποιέουσα ὅ κα θέλῃ καὶ ἀποτρέχουσα οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν | νόμον· Θράσων Εὐπαλίδα Λιλαιεύς. εἰ δέ τίς κα ἅπτηται Σωστράιας, βέβαιον παρεχόντω | τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα Δωροξένα καὶ ὁ βεβαιωτὴρ Θράσων· εἰ δέ κα μὴ | παρέχωντι, πράκτιμοι ἐόντω κατὸν νόμον· ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες Σωστράταν ὡς (ἐλ)ευθέραν οὖσαν ἀζάμιοι ἐόντες καὶ ἀνυ|πόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἄρχον[τε]ς τῶν Δελφῶν Ἀνδρόνικος | Φρικίδα, Ἀμυνέας Χα[ρ]ιξέν[ο]υ, ἰδιῶται Λιλαιεῖς Ἐπίνικο[ς], Εὐκράτης, Ἐλατεὺς Θράσων, | Θεαρίων, Δελφοὶ Ἀρισταγόρας, Καλλίας, Κριτόλαος, Κράτων, Ξενοκράτης.

W.-F. Z. 1 ohne Angabe der Dittographie. — Nach *Πυθέα* steht *Ε*[. . . .]*εος*. Hierin können wir entweder (wie in 1740, 1 u. a.) den Vatersnamen, etwa *Ε*[*ὑμέν*]*εος* oder ä., vermuten, oder (wie in 1700, 1, 1712, 2 u. a.) das Ethnikon, vielleicht *Ἐ*[*λατ*]*έος*, wie in 1718, 1. Dafür spräche der Umstand, dass Zeugen aus *Ἐλάτεια* in Z. 12/13 genannt sind, dagegen, dass der Raum von 4 Zeichen durch dieses Wort nicht ausgefüllt wird. — *W.-F.* Z. 2 *Κλευδάμου*. — 3 *Πυθίωι*. — 9 *κατὰ τὸν*. — 12 *Χαριξένου*, dann *Ἐπίνικος*. — 10 hat der Stein ΩΣΕΥΘ°; der Steinmetz hat also die Silbe *ελ* übergangen, vgl. 1748, 12. — Der Bürge (in Z. 7) ist durch eine Inschrift aus Stiri nochmals bezeugt, vgl. GDI. 1539b, 9. — Das Adjectivum (Z. 4) *προτερ-άσιος* : **προτερ-άζω* : *προτερο-* = *δοκιμασία* : *δοκιμ-άζω* : *δόκιμος*; es setzt das dem *προτερίζω* (*ὑστερίζω*) analog gebildete Verbum auf °*άζω* voraus; mit *τὰν προτερασίαν ὠνάν* wechselt sonst *ἁ πρότερον ὠνά*, z. B. 1844, 7. — Das Particip *ἀρμέναν* hat gewiss langen Anlaut, ist also gleich *ἠρμένην* „getilgt, aufgehoben"; s. Index.

Zeit. Priesterschaft IV: Juni/Juli 168.

1747 *W.-F.* 82. *Ditt.* 463. C. v. B.

Στραταγέοντος τῶν Φωκέων Μενεσθένεος τοῦ Κρινολάου Ὑαμπολίου μηνὸς | ὡς μὲν Φωκεῖς ἄγοντι ὀγδόου, ἐν Δελφοῖς δὲ ἄρχοντος Θευξένου τοῦ Καλλία | μηνὸς Ἡρακλείου, ἐπὶ [τ]οῖσδε ἀπέδοτο Εὐφράνωρ Καλλικρί⟨ι⟩του Λιλαιεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικ[ε]ῖον ἆι ὄνομα Φαλάκρα τὸ γένος Αἰτωλὰ ‖ ἐκ Καλλιπόλιος, συνεπαιν[ε]όντων τ[οῦ] τε υἱοῦ τοῦ Εὐφράνορος Τιμαγγέλου | καὶ τᾶς θυγατρὸς αὐτοῦ Ξενοῦς, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν | ⟨καὶ τὰν τιμὰν⟩ ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Φαλάκρα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε | ἐλευθέραν εἶμεν καὶ ἀνέφ[α]πτον ἀπὸ πάντων τὸμ πάντα βίον καὶ ἀποτρέχου|σαν οἷς κα θέλη[ι]. [βεβαι]ωτῆρες κατὰ τὸν νόμον· Δίων Ἀριστοβούλου Δελφός, Ἀρισ[. . . . .]ης Νικέα Λιλαιεύς. παραμεινάτω δὲ Φαλάκρα παρὰ Εὐφράνορα [ἄχρι] κα ζῆι Εὐφράνωρ, ποιέ[ο]υσα τὸ ποτιτασσόμενον | πᾶν τ[ὸ] δυνατόν. εἰ δέ τί [κα π]άθοι Εὐφράνωρ πρὸ τοῦ τὸν υἱὸν αὐτοῦ Τιμάγγελον | γυναῖκα λαβεῖν, παραμειν[ά]τω⟨ι⟩ Φαλάκρα Τιμαγγέλωι ἄχρι οὗ κα γυναῖκα λάβη[ι], | ποιέουσα τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατόν. εἰ δὲ μὴ παραμείναι Φαλάκρα ‖ κ[α]θὼς γέγραπται, ἄκυρος ἔστω ἁ ὠνά. μάρτυρες· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος | Ταραντῖνος καὶ οἱ ἄρχοντες Φιλοκράτης, Πολέμαρχος, Ἄρχων καὶ ἰδιῶται Ἀριστό[μ[α]χος Ὀλυμπογένεος, Δάμων Δεξώνδα, Δρομοκλείδας Ἁγίωνος, Ἵππων Ἀθανί|ωνος, Μένης Πεισιστράτου Δελφοί,

Στρατόλαος Λυκίνου, Κλέων Ξενοκράτεος, Νίκαρχος Πετραίου, Ζωΐλος Ἡροίδα, Κλάδων Ξενοκράτεος Λιλαιεῖς.

W.-F. Z. 1 *Μενεσθέος.* — 3 *τοῖσδε*, dann *Καλλικρίτου.* — 4 *τῶι Πυθίωι σῶμα γυναικεῖον.* — 5 *συνεπαι[νε]όντων τοῦ.* — 7 zu Anfang ohne Angabe der Dittographie im Texte, s. jedoch S. 306. — 8 *ἀνέφαπτον*, nach *βίον* „*καί*" vergessen. — 9 *βεβαιωτῆρες.* — Wie Z. 10 die Lücke von 5 Zeichen auszufüllen sei, weiss ich nicht; möglich z. B. *Ἀρισ[τομέν]ης, Ἀρισ[τοφάν]ης* u. a. — *W.-F.* Z. 11 *ζῆ*, dann *ποιέουσα.* — 12 *τὸ δυνατόν.* — Nach *εἰ δέ τί* ist eine Lücke für 3 Zeichen, richtiger 2; denn *π* ist als sicher abzurechnen. Es giebt Fälle (s. Index) von der Construktion *εἰ* + *κά* + opt., möglich freilich wäre auch ursprüngliche Steinverletzung, die der Steinmetz überging. Also entweder *εἰ δέ τί [κα π]άθοι* oder *εἰ δέ τι ⟨. .⟩ [π]άθοι.* — Zu Z. 13 merken *W.-F.* auf S. 306 die Schreibung °*μεινάτωι* an; am Ende dieser Zeile ist *λάβη* oder *λάβη[ι]* möglich. — *W.-F.* Z. 15 *καθώς.* — 16/17 *Ἀριστόμαχος.* — 18 *Λυκίνου* vergessen.

Zeit. Priesterschaft IV (170—157/6).

1748 *W.-F.* 83. C. v. B.

Ἄρχοντος Θευξένου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀριστ[ο]κράτεια Ὀνασίμου, συνεπαινέοντος καὶ Σωστράτου, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Δαματρία, τιμᾶς | ἀργυρίου μνᾶν δύο. βεβαιωτὴρ κατὸν νόμον· Ἀριστόμαχος Ὀλυμπογένεος. παραμεινάτω | δὲ παρὰ Ἀριστοκράτειαν ἄχρι οὗ κα ζῇ Ἀριστοκράτεια ἀνενκλήτως, ποιέουσα πᾶν τὸ ποτιτασσόμενον τὸ δυνατόν· εἰ δέ κα μὴ ποῆι Δημητρία ἢ μὴ παραμείνηι, ἐξέστω Ἀριστο|κρατείαι ἢ ἄλλωι ὑπὲρ Ἀριστοκράτειαν κολάζειν ὡς κα θέλωντι Δημητρίαν | ἀζαμίοις ὄντοις καὶ ἀνυποδίκοις· εἰ δέ τί κα πάθηι Ἀριστοκράτεια, ἐλευθέρα ἔστω | Δημητρία κυριεύουσα αὐτοσαυτᾶς καὶ ἀποτρέχουσα οις κα θέληι, καθὼ[ς] | ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπ[τ]ηται Δημητρίας ἐπεί κα || τελευτάσηι Ἀριστοκράτε[ι]α, βέβαιον παρε[χέ]τω ὁ βεβαιωτὴρ τῶι θεῶι | τὰν ὠνὰν κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ πα[ρ]ατυγχάνοντες κύριοι ἐόντω συλέοντες ὡς [ἐλ](ευ)θέραν οὖσαν ἀζάμι' ὄντες κ[α]ὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζα[μίας]. | μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος καὶ οἱ ἄρχοντες Φιλ[οκράτης], | Πολέμαρχος, Ἄρχων, ἰδιῶται Ἀριστόμαχος, Τιμοκλῆς, Ἀμύντας, Δίων.

W.-F. Z. 1 *Ἀριστοκράτεια.* — 3 *κατὰ τὸν.* — 4 *ἀνεγκλήτως.* — 5 *ποιῇ*, dann *παραμείνῃ.* — Die ggr. Form *Δημητρία* wechselt mit der dor. auf demselben Steine, vgl. 1817. — *W.-F.* Z. 8 *καθώς.* — 9 *ἅ[πτ]ηται.* —

10 *τελευτάσῃ Ἀριστοκράτεια, βέβαιον παρεχ[έ]τω.* — In Z. 12 hat der Stein *ὡς . . θέραν* (vgl. 1746, 10), *W.-F. ὡς ἐλευθέραν.* — Für *ἀζάμι' ὄντες* s. ihre Anmerkung auf S. 306, (möglich freilich auch *ἀζάμι(οι) ὄντες*), sie geben im Texte *ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι — ζαμ[ίας].* — Vgl. 1795, 6 *κύρι' ὄντω*; 1875, 16 *ἀζάμι' ἐόντες* u. a.

Zeit. Priesterschaft IV (170—157/6).

1749 *W.-F.* 84. *Ditt.* 455. C. v. B.

Ἄρχοντος Κλέωνος μηνὸς Ποιτροπίου, ἀπέδοτο Ἀρχέλαος Θηβαγόρα Δελφὸς σῶμα ἀνδρεῖον ὧι ὄνομα Κύπριος τὸ γένος Κύπριον τῶι Ἀπόλλωνι τῶι Πυθίωι, τιμᾶς ἀργυρίου μνᾶν τριῶν. | βεβαιωτήρ· Δεξικράτης Μνασιθέου. παραμεινάτω δὲ Κύπριος παρὰ Ἀρχέλαον τὸν πωλήσαντ' αὐτὸν μέχρι κα Ἀρχέλαος ζώ⟨ι⟩η· | εἰ δέ τί κα πάθηι Ἀρχέλαος, ἐλεύθερος ἔστω Κύπριος καὶ ἀποτρεχέτω οις κα θέληι, ὡς κα τὸ πάθος γένηται περὶ Ἀρχέλαον. ‖ ποταποτεισά[τ]ω δὲ τὸ ἐπίλοιπον τᾶς τιμᾶς ἀργυρίου τρία ἡμιμναῖα, Θηβαγόρα ἡμιμναῖον, Δωροθέωι ἡμιμναῖον, Ἀρχίαι ἡμιμναῖον. | ἀποτεισάτω δὲ τοῦτο τὸ ἀργύριον ἐν ἐνιαυτῶι, ἀφ' οὗ κα τὸ πάθος γέν[η]ται περὶ Ἀρχέλαον. ἁ δὲ ὠνὰ ἔστω τοῦ θεοῦ. παρεχέτω δὲ Ἀρχέλαος καὶ ὁ βεβαιωτὴρ Δεξ[ι]κράτης βέβαιον τὰν ὠνὰν τῶι θεῶι· εἰ δέ τις ἐφάπτοιτο Κυπρίου, κύριος ἔστω συλέων καὶ αὐτοσαυτὸν καὶ ὁ παρατυγχάνων ὡς ἐλεύθερον ἐόντα. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ταραντῖνος Ἄρχωνος, Ἀμύντας Εὐδώρου καὶ τῶν ἀρχόντων Ἥρυς Πλείστωνος, | ἰδιῶτα[ι] Ἐκέφυλος, Κλέανδρος, Ἀλκέτας, Λύκος, Καλλίερος, Μνασίθεος, Ξενόκριτος. τὸ ὁμόλογον παρὰ Καλλίερον.

Diese Inschrift steht auf der Polygonalmauer hinter No. 1750.

W.-F. Z. 5 *ποταποτεισάτω.* — 6 fehlt ganz, durch sie wird die Ergänzung von *παρεχέτω,* zu der sie S. 306 raten, unnötig. — 7 *Δεξικράτης.* — 9 *ἰδιῶται.* — Mit *ζώ⟨ι⟩η* Z. 3 vgl. *Ἀπόλλω⟨ι⟩νι* 1751, 1 u. a.

Zeit. Priesterschaft IV (170—157/6), vielleicht 168/7.

1750 *W.-F.* 85. *Ditt.* 456. C. v. B.

Ἄρχοντος Ξενέα μηνὸς Θεοξενίου, ποταπέδωκε Κύπριος Δωροθέω | ἡμιμναῖον, Θηβαγόρα ἡμιμναῖον, Ἀρχία ἡμιμναῖον, καθὼς αὐτοὶ εὐδόκησαν, ὃ ἔδει αὐτὸν ἀποδόμεν, ἐπεί κά τι πάθη Ἀρχέλαος. μάρτυρες· | οἱ ἄρχοντες Δάμων, Ξένων, Πολύων, ἰδιῶται Πύθων, Ἀστόξενος, ‖ Καλλίας.

Diese Inschrift steht auf der Polygonalmauer vor 1749; auffällig, weil doch 1750 Nachtrag zu 1749 ist. Der Steinmetz schloss eine Lücke mit diesen 4 Zeilen, die er wegen Z. 6 von 1749 absichtlich gelassen hatte.

W.-F. Z. 6 *Εὔδοκος*. Nach *Πραξία* -, oben ein Querstrich. Gewiss wollte der Steinmetz nach A statt Δ gleich E einschlagen, merkte aber sein Versehen und meisselte nun hinter diesen Zeichenplatz das volle Wort *Δελφοί*. — 8 *ποιέουσα*. — 9 *Σω|σικρατείας*. — 10 *καταδουλισμῶι*. — 10 Ende *τὰν | ὠνάν*. — 14 *ἐόντων*. — 15 *πάσας δίκας*. — Z. 15 vergass der Steinmetz das Wort für „Zeugen". *Ἀστόξενος* ist wohl der Archont.

Zeit. Priesterschaft IV (170—157/6).

1877 *W.-F.* 212. C. v. B.

Στραταγέοντος ἐμ Φωκέοις Εὐ[ξ]ιθέου Ὑαμπολί|[τ]ου μηνὸς Λαφρίου, ἐν δὲ Δελφοῖς ἄρχοντος Μενεστράτ|[ου] μηνὸς Θεοξενίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀγασικλῆς Κρίτων[ος | Λιλαι]εὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Δη[μή-τριος] ‖ τὸ γένος Ἀρμένιον, τιμᾶς ἀργυρίου μνᾶν δύο, καθὼς ἐπίστευσε [Δημήτρι]|ος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτο[ς ἀπὸ πάν]|των τὸμ πάντα βίον, ποέων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέ[λη. βεβαιω]|τῆρες κατὰ τὰν συμβολάν· Νεόστρατος Παλαίωνος Δελφό[ς, Ἐπιχαρί]|δας Εὐδάμου Λιλαιεύς. ε[ἰ] δέ τις ἐφάπτοιτο Δημητρίου ἐπὶ καταδουλισ[μῶι, βέ]‖βαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἀγασικλῆς καὶ [οἱ βεβαι]|ωτῆρες Νεόστρατος καὶ Ἐπιχαρίδας. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες [κύριοι]| ἐόντω συλέοντες Δημήτρ[ι]ον ὡς ἐλεύθερον ὄντα ἀζάμιοι ὄντες καὶ ἀνυπ[όδικοι πά]|σας δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος καὶ τῶ[ν] | ἀρχόντων Μνασίθεος, Θεόξενος, ἰδιῶται Καλλείδας, Ἀντιχάρης.

W.-F. Z. 1 *Εὐξιθέου*. — 4 Wegen der Ergänzung [*Λιλαι*]*εύς* vgl. Z. 9; so *W.-F.* S. 309. — 6 *ἀνέφαπτος* [*ἀπὸ πάν*]|. — 8 Nach *κατὰ* sind 2 dittographische Zeichen ausgeschlagen; vgl. 1878, 6. — 8 Ende *Δελφός, Ἐπιχαρί*|. — 9 *εἰ δέ*. — 9 Ende *καταδουλισμῶι, βέ*|. — 10 *καὶ οἱ βεβαι*|. — 11 *κύριοι* ohne Klammern. — 12 *Δημήτριον* voll. — 12 Ende *ἀνυπόδικοι πά*|. — Die Zeilenenden von 8—12 haben also jetzt stärker gelitten. — Zu *Ἀγασικλῆς* Z. 10 merken *W.-F.* S. 309 an: Inscr. ΑΓΑΣΙΚΛΗΙΣ. Der Polygon hat aber nur °*κλῆς*. Zwischen *η* und *ς* ist ein Riss im Steine. —

Consequent ist *ἐμ Φωκέοις* Z. 1 und *τὸμ πάντα* Z. 7. — Wie 1857, 3 der Delphier seinen Sclaven mit ggr. Form nennt, so hier (Z. 4, 9) der *Λιλαιεύς*.

Zeit. Priesterschaft IV (170—157/6).

1878 *W.-F.* 213. *Ditt.* 462. C. v. B.

Ἄρχοντος ἐν Δελφοῖς Μενεστράτου μηνος Ἀμαλίου, ἐν δὲ Λοκροῖς ἀγωνοθετέοντος [Εὐ]|θυδάμου Φυσκέος μηνὸς ἕκτου, ἐπὶ τοῖσδε ἀπέδοτο Καλλίξενος Εὐαρχίδα Μυανεὺς τῶι [Ἀ]|πόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Σῶσος τὸ γένος Γαλάτ[α]ν, τιμᾶς ἀργυρίου | μνᾶν ἕξ, καθὼς ἐπίστευσε Σῶσος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧ[ιτε ἐλ]εύθερος εἶμεν καὶ ἀνέ||φαπτος ἀπὸ πάντων τὸμ πάντα βίον, ποιῶν ὅ κα θέλῃ καὶ ἀποτρέχων οις κα θέλῃ. βεβαιωτῆ|ρες κατὰ⟨τα⟩ τὰν συμβολάν· Ἐμμενίδας Δεξικράτεος Δελφός, Πολύκριτος Καλλιξένου Μυα|νεύς. εἰ δέ τις καταδουλίζοιτο Σῶσον, βέβαιον παρεχόντων ὅ τε ἀποδόμενος Καλλίξενος καὶ | οἱ βεβαιωτῆρες τῶι θεῶι τὰν ὠνάν· εἰ δέ κα μὴ παρέχωντι, πράκτιμοι ὄντω κατὰ τὰν συμβολάν. | ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ὄντω συλέοντες ὡς ἐλεύθερον ὄντα ἀζάμι||οι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. κατενεγκάτω δὲ τὸν ἔρανον Σῶσος τὸν | συνᾶξε [Ἀ]μυνέας Χαριξένου τετταρακονταμνα(ῖ)ον, τὸ ἥμισσον αὐτοῦ ἐπὶ τὸ Καλλιξένου ὄνο|μα, ἄχρι κα ἐξενεγχθῇ ὁ ἔρανος, καὶ οὕτω βέβαιος ἔστω ἁ ὠνὰ τῶι θεῶι· εἰ δὲ μὴ κατενέγκαι, ἀ|γώγιμος ἔστω Σῶσος Καλλιξένωι αὐτὸς καὶ τὰ αὐτοῦ πάντα. εἰ δέ κα τελευτάσῃ Σῶσος ἄτεκνος, | τὰ καταλειφθέντα ὑπάρχοντα Σώσου πάντα Καλλιξένου ἔστων. εἰ δέ τινι ζώων δόσιν ποέοιτο τῶν ‖ ἰδίων Σῶσος, ἀτελὴς ἁ ὠνὰ ἔστω. τὰ δὲ ἔργα συντελείτω Σῶσος τὰ Καλλιξένου πάντα, ἄχρι κα ὁ ἔ|ρανος κατενεγχθῇ· εἰ δέ κα μὴ συντελῇ Σῶσος τὰ ἔργα καθὼς ἐπάνω γέγραπται, ἀτελὴς ἁ ὠνὰ ἔστω, | εἰ μὴ ἄῤῥωστος γένοιτο Σῶσος, καὶ τεχνίταν ἐγδιδαξάτω Σῶσος Καλλιξένω, εἴ κα δώῃ Καλλίξενος τὸ | παιδάριον Σώσω. ἁ ὠνὰ παρὰ μὲν Δελφὸν Ἄρχωνα Καλλία, παρὰ δὲ Λοκρὸν Ἐρύμανδρον Κριτοδάμου | Μυανῆ. μάρτυρες· ὁ ἱερεὺς τοῦ Ἀπόλ(λ)ωνος Ἀμύντας καὶ τῶν ἀρχόντων Θεόξενος, ἰδιῶται Ἵππων, Ἄρ||χων Κ(α)λλία, Μαντίας Δαμοχάρεος, Ἀρχέλας Δαμοσθένεος, Ἄρχων Νικοβούλου Δελφοί, Ἀλεξίμαχος | Δαμοτίμου, Δάμων Θευδώρου Ἀμφισσεῖς.

Z. 4 Die eingeklammerten Zeichen stehen in einer Lücke, aber so unkenntlich, dass man, wenn man nicht weiss, was folgt, sie nicht errät. —

6 Die Dittographie notieren *W.-F.* S. 309. Vgl. 1877, 8. — Z. 11 *Ἀμυνίας*, dann *τετταρακονταμνα[ῖ]ον*, Stein °ΜΝΑΟΝ; vgl. 1863, 6; 1874, 13. — 19 *Ἀπόλλωνος*, Stein °ΟΛΩ°. Der Steinmetz versuchte das zweite *λ* über dem ersten nachzutragen, dabei sprang aber der Stein aus. Vgl. 1761, 4. — 20 *Καλλία*, Stein ΚΛΛΙΑ. — Zur lokrischen (vgl. Z. 18) Stadt *Μύων* oder *Μυωνία* gehört bei den Autoren das Ethnikon *Μύονες*, *Μυονεῖς*, *Μυᾶνες* (richtiger *Μυανῆς* Ditt. a. a. o.). — Zum Passus Z. 10 ff. vgl. 1772, 17; 1804, 2; zu Z. 14/15 vgl. 1759, 10, wo auch im Falle eines Vermächtnisses die ganze Schenkung für ungültig erklärt wird, dagegen 1696, 13; 1891, 21 nur das Vermächtnis. — Bemerkenswert die Schreibung *ἐγ-διδαξάτω*, vgl. *ἐγδαμείτω* 1801, 5.

Zeit. Priesterschaft IV (170—157/6). Die Inschrift steht zwischen 1877 und 1879, von denen jede beide Priesternamen *Ἀμύντας*, *Ταραντῖνος* hat. Die Behörde des Semesters s. 1824, 1/2.

1879 *W.-F.* 214. C. v. B.

Ἄρχοντος Ἀνδρονίκου τοῦ Φριχίδα μηνὸς Ἡρακλείου, ἀπέδοτο Δίων Φι|λιστίωνος, Μένων Εὔκωνος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα τρί|α, Ζωΐλαν τε καὶ τοὺς υἱοὺς αὐτᾶς, Ἀπολλόδωρον καὶ Ἀνδρομένη, καθὼς ἐπίστευ|σε Ζωΐλα καὶ Ἀπολλόδωρος καὶ Ἀνδρομένης τῶι θεῶι τὰν ὠνάν, τιμᾶς ἀρ||γυρίου μνᾶν ἑπτά. βεβαιωτὴρ κατὰ τὸν νόμον· Δίων Ἀλέξωνος. εἰ δέ τις | ἐφάπτοιτο Ζωΐλας ἢ Ἀπολλοδώρου ἢ Ἀνδρομένεος ἐπὶ καταδουλισμῶι, κύριοι ἔστω|σαν αὐτοί τε αὐτο⟨το⟩ὺς συλέοντες ἐπ' ἐλευθερίᾳ καὶ ἄλλος ὁ παρεντυγχάνων κύριος | ἔστω συλέων ἀνυπόδικος ἐὼν καὶ ἀζάμιος. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, | Ταραντῖνος καὶ οἱ ἄρχοντες, ἰδιῶται Ἄρχων Νικοβούλου, Ἀρχέλαος Δαμοσθένεος, Ἰατάδας, Μένης.

W.-F. Z. 7 *αὐτούς*, ohne Angabe der Dittographie. — Der Singular *ἀπέδοτο* bei 2 Personen, wie 1777, 1; 1773, 4; 1847, 1 u. a.; vgl. Z. 3/4. — Z. 9 S. die Archonten 1826, 10.

Zeit. Priesterschaft IV (170—157/6).

1880 *W.-F.* 215. C. v. B.

Ἄρχοντος ἐν Ἀμφίσσαι Ἀριστοδάμου τοῦ Δάμωνος μηνὸς Ἀγροστυῶνος, ἐν Δελφοῖς δὲ | ἄρχοντος Ἄρχωνος τοῦ Καλλία μηνὸς Βουκατίου, ἐπὶ τοῖσδε ἀπέδοτο Δωρόθεος Ἀρχε|λάου, συνεπαινέοντος καὶ τοῦ υἱοῦ Ἀρχελάου, Ἀμφισσεῖς τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα ἀνδρεῖον ὧι ὄνομα Περιγένης τὸ γένος Μακεδόνα, τιμᾶς ἀργυρίου μνᾶν τεσσά||ρων καὶ ἡμιμναίου, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Περι-

γένης τῶι θεῶι τὰν | ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα βίον, ποιέων ὅ κα | θέληι. βεβαιωτῆρες κατὰ τὸν νόμον· Ἄθαμβος Ἀθανίωνος Δελφός, Θηβαγόρας Ἀρχελάου Ἀμ|φισσεύς. εἰ δέ τίς κα ἅπτηται Περιγένεος ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰ[ν] | ὠνὰν ὅ τε ἀποδόμενος Δωρόθεος καὶ οἱ βεβαιωτῆρες Ἄθαμβος καὶ Θηβαγόρας. εἰ δέ κα μὴ πα‖ρέχωντι, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόν|των συλέοντες ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμί|ας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας καὶ τῶν ἀρχόντων Ἄθαμβος Ἀθανίωνος καὶ ἰδι|ῶται Χαρίξενος, Ἀλεξίμαχος, Φιλόξενος, Ἀρχέλαος Δωρο|θέου Ἀμφισσεῖς, Δελφοὶ Εὐκλείδας, Πολύων, Μένης, Πατρέας.

Diese Nummer ist sehr gut erhalten. Nur Z. 1, 2 und 6 findet sich je ein verletztes Zeichen. — *W.-F.* Z. 7/8 Ἀμ|φισσεύ[ς]. Aber Σ ist noch zwischen Υ und das folgende Ε gedrängt. Dagegen fand ich nicht wieder das Schluss-ν der Zeile; *W.-F.* τάν|. — Zu οἱ ἱερεῖς Z. 12 vgl. 1862, 5; 1891, 33. — Ueber die Schwankungen in der Schreibung des Monatsnamens in Amphissa (Z. 1) s. den Index.

Zeit. Priesterschaft IV (170—157/6). Die Inschrift steht zwischen 1879 und 1881, sie fällt auch in die Zeit, wo Ἀμύντας (Z. 12) den *Ταραντῖνος* zum Collegen hatte. Die Behörde s. 1838, 13.

1881 *W.-F.* 216. C. v. B.

Ἄρχοντος Μενεστράτου μηνὸς Ἀ|μαλίου, ἀπέδοτο Γενναῖος Θαρσύα, | συνευδοκεούσας καὶ τᾶς θυγατέρος | αὐτοῦ Ἀγησαρέτας, τῶι Ἀπόλλωνι τῶι ‖ Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Ἀρ|τέμων τὸ γένος Γαλ⟨λ⟩άταν, τιμᾶς | ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔ|χει πᾶσαν, καθὼς ἐπίστευσε Ἀρτέμων | τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος ‖ εἶμεν καὶ ἀνέφαπτος τὸμ πάντα χρόνον, | ποιέων ὅ κα θέλη καὶ ἀποτρέχων | οἷς κα θέλη. βεβαιωτὴρ κατὰ τὸν | νόμον τᾶς πόλιος· Ἀντιχάρης Ἀζαράτ[ο]υ | Δελφός. εἰ δέ τίς κα ἐνάπτηται Ἀρτέμωνος ἐπὶ | καταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι | τὰν ὠνὰν ὅ τε ἀποδόμενος Γενναῖος καὶ ὁ βεβαιωτὴρ Ἀντιχάρης κα|τὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συ|λέοντες Ἀρτέμωνα ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ἐόντες καὶ ἀ|νυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· ὁ ἱερεὺς τοῦ Ἀπόλλω‖νος Ἀμύντας καὶ οἱ ἄρχοντες Μνασίθεος, Θεύξενος,

Ἁγίων καὶ ἰδιῶ|ται Χαρίξενος Ἀλέξωνος, Δάμων Δαμοκράτεος, Ἀλέξων | Χαριξένου, Νικόμαχος, Γενναῖος Ἡράκωνος, Καλλιγέ[νη]ς Κλευδάμου, Ἀγαθοκλῆς Ἀντιχάρεος, Τιμόκρι[τος].

W.-F. Z. 5 *ῷ* statt *ῶι*. — 6 *Γαλάταν*, mit der Bemerkung auf S. 309: Inscr. ΓΑΛΙΛΑΤΑΝ. Aber das Jota ist falsch. Stein ΓΑΛΛΑΤΑΝ. — 13 *Ἀζ[αράτου]*. — 20 *W.-F.* S. 309: Inscr. ΑΤΙΩΝ, aber *γ* ist klar. — 23 *Τιμόκρι[τος]*. Am Schlusse von Z. 23 steht *Τιμοκρι-*, und danach ist eine rissige Stelle. °*τος* stand deshalb gewiss an der entsprechenden Stelle, wo Z. 23 Anfang *[νη]ς* stand.

Zeit. Priesterschaft IV (170—157/6); diese Nummer hat dieselben Archonten wie 1878.

1882 *W.-F.* 217. C. v. B.

Ἄρχοντος Μένητος | μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέ|δοτο Κλέων Φιλιστίδου Ὠρώ|πιος τῶι Ἀπόλλωνι τῶι Πυ||θίωι σῶμα ἀνδρεῖον ὧι ὄνο|μα Ἀγαθίας τὸ γένος ἐξ Ὀποῦν|τος, τιμᾶς ἀργυρίου μνᾶν | τριῶν, καθὼς ἐπίστευσ[ε] Ἀγαθίας | τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθε||ρος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων | τὸμ πάντα βίον. βεβαιωτῆρες κατὰ | τὸν νόμον· Ἀμυνέας Χαριξένου, Δίων | Ἀλέξωνος Δελφοί. παραμεινάτω δὲ | Ἀγαθίας παρὰ Κλέωνα ἄχρι κα ζώῃ || Κλέωνι ποιέων τὸ ποτιτασ[σ]όμενον | πᾶν τὸ δυνατὸν ἀνεγκλήτως· εἰ δέ τί | κα μὴ ποιήσῃ Ἀγαθίας τῶν ποτιτασσο|μένων ὑπὸ Κλέωνος καθὼς γέγραπται | δυνατὸς ἐών, ἐξέστω Κλέωνι κολάζειν || καθὼς κα αὐτὸς θέλῃ κ[α]ὶ ἄλλωι ὑπὲρ | Κλέωνα ὃν Κλέων κελεύσῃ ἀζαμίοις ὄν|τοις καὶ ἀνυποδίκοις πάσας δίκας καὶ ζαμί|ας. εἰ δέ τί κα πάθῃ Κλέων, ἐλεύθε[ρ]ος ἔστω | Ἀγαθίας κυριεύων αὐτοσαυτοῦ καὶ ποιέ||ων ὅ κα θέλῃ καὶ ἀποτρέχων οἷς κα θέλῃ, | καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. | εἰ δέ τίς κα ἅπτηται ἐπὶ καταδουλισμῶι | Ἀγαθία τελευτάσαντος Κλέωνος, βέβαι|ον παρεχόντων οἱ βεβαιωτῆρες τῶι θε||ῶι τὰν ὠνὰν κατὰ τὸν νόμον. ὁμοί|ως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι | [ἐ]όντω[ν] συλέοντες ὡς ἐλεύθερον | ὄντα [ἀ]ζάμιοι ἐόντες καὶ ἀνυπόδικοι | πάσας δίκας καὶ ζαμίας. μάρτυρες· || τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄθαμβος, | Ἀμύντας, ἰδιῶται Εὐκλείδας, | Ἄρχων, Εὐάγγελος, Καλλίερος.

W.-F. Z. 3/4 *Ὠρώ|[π]ιος*, aber *π* ist klar. — 8 *ἐπίστευσε*. — 14/15 *ἄχρι κα ζώῃ | Κλέων, ποιέων τὸ ποτιτασσόμενον*, der Stein hat aber den Dativ, und dieser gehört doch zum Satze nach *ζώῃ*. Vgl. 1865, 4, anders

1852, 13. — 20 *καὶ ἄλλωι*. — 23 *πάθ[η]*, dann *ἐλεύθερος*. — 32 *[ἐ]όντων*. — 33 *ἀζάμιοι*.

Zeit. Priesterschaft III: Juni/Juli 170.

1883 *W.-F.* 218. C. v. B.

Ἄρχοντος Ἄρχω[νος] | μηνὸς Θευξενίου, ἐπὶ ⟨[τ]ο⟩ | τοῖσδε ἀπέδοτο Διονύσιος | [Ἀθ]ανίωνος, συνευδοκεούσας τᾶς ‖ γυναικὸς Ξεναρχίδος καὶ τᾶς | θυγατρὸς Τιμάδος καὶ τοῦ υἱοῦ | Κλέωνος, τῶι Ἀπόλλωνι τῶι Πυθί|ωι σῶμα γυναικεῖον ἆι ὄνομα Στρατο|νίκα, τιμᾶς ἀργυρίου δύο μνᾶν, καὶ τὰν ‖ τιμὰν ἔχει πᾶσαν. βεβαιωτὴρ | κατὰ τὸν νόμον· Ἀσστίξενος Διο|νυσίου Δελφός. καθὼς ἐπίστευ|σε Στρατονίκα τῶι θεῶι τὰν ὠ|νάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀ‖νέφαπτος ἀπὸ πάντων τὸμ πάντα βί|ον, ποιέουσα ὅ κα θέλη καὶ ἀποτρέ|χουσα οἷς κα θέλη. εἰ δέ τις ἐφά|πτοιτο Στρατονίκας ἐπὶ καταδου|λισμῶι, βέβαιομ παρεχέτω τῶι θε|ῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος | Διονύσιος καὶ ὁ βεβαιωτὴρ Ἀ|στόξενος· εἰ δέ τί κα μὴ πα[ρέ]χων|τι, πράκτιμοι ἐόντων κατὰ [τ]ὸν νό|μον. ὁμοίως δὲ καὶ οἱ παρατυγχά‖νοντες κύριοι ἐόντων συλέον|τες ὡς ἐλευθέραν οὖσαν ἀζά|μιοι ὄντες καὶ ἀνυπόδικοι | πάσας δίκας καὶ ζαμίας. | μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλ|λωνος Ἀμύντας, Ταραντῖ|νος καὶ οἱ ἄρχοντες Σώ|τιμος, Χαρίξενος, Νικό|μαχος· Βούλων, Μαντί|ας, Εὐκλείδας, Σω|σίας, Πεισίστρατος.

W.-F. Z. 1 *Ἄρχωνος*. — 2 *ἐπὶ|*, ohne Angabe der Dittographie. — 4 *Ἀθανίωνος*. — 11 *Ἀστόξενος* im Texte, ΑΣΣΤΟ° in den *Notes* S. 309. — 19 *βέβαιον*. Bemerkenswerter Sandhi; vgl. auch Z. 15 u. 1886, 12. — 22 *παρέχων|τι*. — Wegen der Archonten s. 1886, 22/23.

Zeit. Priesterschaft IV (170—157/6).

1884 *W.-F.* 219. *Ditt.* 457. C. v. B.

Ἄρχοντος Πύῤῥου μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀλέξων Χαριξένου, συνευδο[κ]εόντων κα(ὶ) τῶν υἱῶν αὐτοῦ Δίωνος, Χαριξένο[υ], | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄν‖ομα Θραικίδας τὸ γένος ἐνδογενῆ, τιμᾶς ἀργυρί[ου | μν]ᾶ[ν] τριῶν, καθὼς ἐπίστευσε Θραικίδας τῶι | [θεῶι] τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν ἐπε[ί κ]ά τ[ι | πάθη Ἀ]λέξων. παραμεινάτω δὲ Θραικίδας παρὰ Ἀ‖[λέξωνα τ]ὸ κελευόμενον ποιῶν πᾶν· εἰ δὲ μή, ἄκυ[ρος ἔστ]ω Θραικίδαι ἁ ὠνά. εἰ δέ κά τι πάθη Ἀλέξω[ν, | τρεφ]έτω Θραικίδας Δορκάδα, εἴ κα θέλη [ο]ἰκεῖν ἐν τα‖[ύ]τῶι· εἰ δὲ μή, ἐν-

βαλλέτω Θραικίδας Δορκάδι | τροφὰν τοῦ μηνὸς ἑκάστου πυρῶν τέσσαρα ἡ|μίεκτα, οἴνου πρόχον. ἁ δὲ [ὠ]νὰ αὕτα κυρία ἔστ[ω], || εἴ τί κα πάθη Ἀλέξων. βεβαι[ω]τὴρ κατὰ τοὺς ν[ό]μ[ο]|υς τᾶς πόλιος· Δίων Ἀλέξωνος. μάρτυρ[ες· οἱ | ἱ]αρεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραν[τῖ]|νος, ἄρχοντες Ἀρχέλας Δαμοσθένε[ος], | Δίων Ἀλέξωνος, Ἄθανβος Ἀθανίωνο[ς, ἰδι]|ῶται Ὀρέστας [Ε]ὐχαρίδα, Κλεύξενο[ς Μν]|ασίππου, Μένης [ὁ] ναχόρος. αὕτα δὲ ἁ ὠν[ὰ] | κυρία ἔστω Θραικίδαι, ε[ἴ] τί κα πάθη Ἀλέ[ξων], | ποιοῦντι ἃ δεῖ νιν Δορκάδι· εἰ δὲ μὴ | ποιέοι, ἄκυρος ἔστω ἁ ὠνά.

In den Nummern 1884 und 1885 sind noch viele rote Farbenspuren zu sehen.

W.-F. Z. 2 *συνευδοκ|εόντων*. — 3 *καὶ τῶν*. — 3 Ende *Χαριξένου*. — 4 *ὧι*, man könnte auch *οἷ* lesen, so undeutlich ist die Stelle geworden, s. 1885, 3. — 5 *ἀργυρίου*. — 6 [*μν*]*ᾶν*. — 7 *ἐπεί κά τ*[*ι*]|. — 8 |[*πάθη*]. — 9 [*λέξωνα*] *τὸ κελευόμενον*. — 10 *Ἀλέξων*. — 11 [*ο*]*ἰκεῖν* [*σὺν*] | *αὐτῶι*, ich sehe *ἐν τα*|[*ὐ*]*τῶι* sc. *οἴκῳ*. — 12 *Θραικίδ*[*ας*], doch noch halbwegs sichtbar. — 13 *τέσσαρα ἑ*|*μίεκτα*, also *ἡ*|*μι*°. — 14 *ἁ δὲ ὠνὰ*, Ende *ἔστω*. — 14 Anfang [*εἴ*], dann *βεβαιωτὴρ κατὰ τοὺς* [*νόμο*]|*υς*. — 16 *μάρτυ*[*ρες· οἱ*]|. — 17 Anfang *ἱαρεῖς*, Ende *Ταραντῖ*|*νος*. — 18 *Δαμοσθέν*[*εος*]|. — 19 *Ἀθανίωνος. ἰδι*|*ῶται*. — 20 *Εὐχαρίδα*, *Κλεύξενος*|. — 21 beginnt mit ΑΣΙΠΠΟΥ, also hat *Μν* noch am Ende von Z. 20 gestanden. *W.-F.* aber Z. 21 | [*Μν*]*ασίππου*. — 21 *Μένης* [*Ξένων*]*ος*. Nach *Μένης* habe ich mir notiert: [.]*να*[.]*ορος*. Das 4. Zeichen sah mir vor dem Steine wie *τ* aus, und ich conjicierte damals [*Ὀ*]*νά*[*τ*]*ορος*. Jetzt ist mir aber *ὁ ναχόρος* gewiss. Vgl. z. B. 1897, 7 und 1913, 17. — 21 Ende *ὠνὰ* | *κυρία*. — 22 *εἴ τί κα πάθη Ἀλέξων*. — 24 schliessen *W.-F.* mit *ἄκυρος ἔστω*. In eine Steinlücke sah ich noch hineingemeisselt *ἁ ὠνά*. — Z. 11 Aus dem Bedingungssatze in Z. 11 lässt sich schliessen, dass *Δορκάς* ebenfalls eine Freigelassene des *Ἀλέξων* war. — Z. 14 *πρόχον* steht für *πρόχοον* wie *χρυσοχός* für *χρυσοχόος*; s. Vf. Stud. I, 257. — Der Satz in Z. 14/15 wird Z. 22/33 wiederholt, weil oben die Clausel fehlte.

Zeit. Priesterschaft IV (170—157/6).

1885 *W.-F.* 220. C. v. B.

Ἄρχοντος Πύῤῥου μηνὸς Ποιτροπίου, | ἐπὶ τοῖσ⟨σ⟩δε ἀπέδοτο Ἀρισταγόρας Εὐθυδά|[μ]ου σῶμα ἀνδρεῖον οἷ [ὄ]νομα Ἀγαθοκλῆς τοῖ | [Ἀ]πόλλωνι τοῖ Πυθίωι, τιμᾶς ἀργυρίου μν[ᾶν] τρ[ιῶν], || καθὼς ἐπίστευσε Ἀγαθο[κ]λῆς τῶι θεῶι τὰ[ν] | ὠνάν, ἐφ' ὧιτε ἐλεύθερ[ο]ς εἶμεν καὶ ἀνέφαπτ|[ο]ς ἀπὸ πάντων τὸν πάντα βίον, ποι[ῶν ὅ κ]α θέ[λ]η καὶ ἀποτρέχων ο[ἷ]ς κα θέλη. βεβαιωτὴρ | κατὰ τὸν νόμον· Φίλων

'Αριστέα. εἰ δέ τίς κ[α] ‖ ἐφάπτηται 'Αγαθοκλέος, βέβαιον παρεχέ|[τω] ὁ βε[β]αιωτὴρ Φίλων 'Αριστέα. εἰ δέ κα μὴ [πα]|ρέχῃ, πράκτιμος ἔστω κατὰ τὸν νόμον. | ὁμοίως δὲ καὶ οἱ παρατυνχάνοντες κύρι|οι ἐόντω συλέοντες ὡς ἐλεύθερ(ο)ν ὄντα ‖ ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι π[ά|σ]ας δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἱε[ρ]εῖ(ς) τ[οῦ] 'Απόλλωνος 'Αμύντας, Ταραν|τῖνος, ἰδιῶται Βούλων, 'Αστύλ[α]|ς, Μαντίας Κλευδάμου, 'Αρχέλαο[ς].

S. die erste Bemerkung zu 1884.

W.-F. Z. 2 *τοῖσδε.* Als der Steinmetz ΤΟΙΣ eingeschlagen hatte, kam er an eine Stelle, die unbenutzbar war. Sie hat nur die Grösse eines Zeichens. Hinter ihr setzte er mit ΣΔΕ ein. Der Fall liegt hier also anders als wie bei *'Ασστόξενος* 1833, 11. — 2/3 *Εὐθυδά|μου.* — 3 *οἱ* (s. 1884, 4) *ὄνομα,* am Ende *τοῖ.* Am Steine schien es mir eher *τῶι* zu sein, doch ist, da die Zeichen nur gekritzelt sind, nichts Bestimmtes zu sagen. — 4 [*μνᾶν*] *τρι*[*ῶν*]. — 5 *'Αγαθοκλῆς* [*τῶι θ*]*εῶι τὰ*[*ν*]|. — 6 *ἐλεύθερος εἶμεν* [*καὶ*] *ἀνέφαπ|τος.* — 7 Der Anfang lautet |[ο]ς. — 7 Ende *W.-F. ποι*[*ῶν ὅ*] st. *ποι*[*ῶν ὅ κ*]|*α,* denn mit *α* beginnt die Zeile. — 8 *θέλῃ καὶ ἀποτρέχων οἷς.* — 9 Ende *δέ τίς* [*κα*]|. — 11 *βεβαιωτὴρ Φίλων.* — 13 *ὁμοίως* unglaublich schlecht eingeritzt. — 14 *ἐλεύθερον,* Stein °ΘΕΡΝΟΝΤΑ. — 15 *ὄντες* st. *ἐόντες.* — 15 Ende *πά*|[*σα*]*ς.* — 16 [*οἱ ἱε*|*ρ*]*εῖς τοῦ 'Α.* — 18 *Βούλων Στρα*[*τοκλ*]*έ*[*ο*]*ς,* ich erkenne *'Αστύλ*[*α*]|*ς.* — 19 [*Κλ*]*ευδάμου, 'Αρχέλαος.* — Zum Wechsel der Schreibung in den Dativen der 2. Decl. auf *-οι* und *-ωι* Z. 3 u. 4 s. z. B. 1729, 4 u. a. — Ob Z. 19 *'Αρχέλαο*[*ς*] der Archont ist? Vgl. 1812, 15; 1884, 18.

Zeit. Priesterschaft IV (170—157/6).

1886 *W.-F.* 221. *Ditt.* 464. C. v. B.

Ἄρχοντος Ἄρχωνος μηνὸς 'Αμαλίου, ἀπέδοτο | 'Αντιχάρης 'Αζαράτου τῶι 'Απόλλωνι τῶι | Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα 'Αγάθων τὸ | γένος Γαλάταν, τιμᾶς ἀργυρίου μνᾶν τρι|ῶν, καὶ τὰν τιμὰν ἔχει, καθὼς ἐπίστευσε | 'Αγάθων τῶι [θ]εῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύ|θερος εἶμεν καὶ ἀνέφαπτος τὸμ πάν|τα χρόνον, ποιέων ὅ κα θέλῃ καὶ ἀποτρέ|χων οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν ‖ νόμον τᾶς πόλιος· Δαμένης 'Ορέστα⟨ς⟩. | εἰ δέ τίς κα ἐνάπτηται 'Αγάθωνος ἐπὶ | καταδουλισμῶι, βέβαιομ παρεχόντω | τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμε|νος 'Αντιχάρης καὶ ὁ βεβαιωτὴρ Δα|μένης κατὰ τὸν νόμον. ὁμοίως δὲ | καὶ οἱ παρατυγχάνοντες κύριοι ἐ|όντω συλέοντες 'Αγάθωνα ὡς ἐλεύ[θε]|ρον ὄντα ἀζάμιοι ὄντες καὶ ἀνυ|πόδικοι πάσας δίκας καὶ ζαμίας. μάρ‖τυρες· οἱ ἱερεῖς τοῦ 'Απόλλωνος | 'Αμύντας, Ταραντῖνος καὶ οἱ ἄρ|χοντες Σώτιμος, Χαρίξενος, | Νικόμαχος

καὶ ἰδιῶται Ἄθαμ|βος, Εὐκλείδας, Δρομοκλείδας, ‖ Παρμενίων, Φίλων, Νεύστρα|τος, Μένης.

W.-F. Z. 6 θεῶι. — 10 Ὀρέστα, Stein ΟΡΕΣΤΑΣ, also °τα(ς), wie 1736, 1 oder °τας, also gen. auf °ας, wie Δικαίας 1732, 12. In diesem Falle ist die zweite Vermutung bedenklich, weil Δαμένης Ὀρέστα öfter belegt ist (s. Index). — 17/18 ἐλεύ|θερον, aber Z. 18 beginnt am Rande mit ρον. — Zum Sandhi in Z. 12 vgl. 1883, 19.

Zeit. Priesterschaft IV (170—157/6).

1887 W.-F. 222. C. v. B.

Στραταγέοντος τῶν Φωκέων Εὐαινέτου | Ἀμβρυσσίου μηνὸς ὀγδόου, ἐν Δελφοῖς δὲ ἄρχον|τος Λαιάδα μηνὸς Ἡρακλείου, ἐπὶ τοῖσδε ἀπέ|δοτο Θρασύμαχος Λοχάγου Λιλαιεὺς τῶι Ἀ|πόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνο|μα Ἀγαθοκλῆς, τιμᾶς ἀργυρίου μνᾶν πέντε, | καθὼς ἐπίστευσε Ἀγαθοκλῆς τῶι θεῶι τὰν ὠ[ν]άν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφ[απ]τος ἀπὸ | [π]άντων τὸμ πάντα βίον, ποιέων ὅ κα θέλῃ καὶ ἀπο|[τ]ρέχων οἷς κα θέλῃ. βεβαιωτῆρες κατὰ τὸν | νόμον· Εὔαρχος Μενέστα, Πραξίας Εὐδόκου Δελ|φοί. εἰ δέ τίς κα ἅπτηται Ἀγαθοκλέος, βέβαιον παρε|χόντων τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Θρασύ|μαχος καὶ οἱ βεβαιωτῆρες Εὔαρχος, Πραξίας· εἰ δέ κα μὴ ‖ παρέχωντι, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον. ὁμοίως | δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες | ὡς ἐλεύθερον ὄντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι | πάσας δίκας καὶ ζαμίας. μάρτυρες· τοὶ ἱερεῖς τοῦ | Ἀπόλλωνος Ἀμύντας καὶ Ταραντῖνος καὶ τοὶ ‖ ἄρχοντες Ἀρχέλαος Πραόχου, Μνασίθεος Ταραντί|νου, Φιλοκράτης Ξένωνος.

W.-F. Z. 8 ἀνέφαπτος. — 9 πάντων. — 9/10 ἀπο|τρέχων.

Zeit. Priesterschaft IV: Mai/Juni 169.

1888 W.-F. 223. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν Ἀγελάου Ναυπα|κτίου μηνὸς Πανάμου, ἐν Δελφοῖς δὲ ἄρχοντος Κλευ|δάμου τοῦ Μαντία μηνὸς Βουκατίου, ἐπὶ τοῖσδε ἀπέ|δοτο Νίκαιος Νίκωνος Ἐριναῖος τῶι Ἀπόλλωνι τῶι ‖ Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Ἀγαθοκλῆς, τιμᾶς | ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει, καθὼς | ἐπίστευσε Ἀγαθοκλῆς τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι|τε ἐλεύθερον εἶμεν καὶ ἀνέφαπτον ἀπὸ | πάντων τὸμ πάντα βίον, ποιέων ὅ κα θέλῃ καὶ ἀπο‖τρέχοντα οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν (ν)όμον· | Φερένικος Νικοβούλου Ἐριναῖος. εἰ δέ

τίς κα ἅπτηται | Ἀγαθοκλέος, βέβαιον παρεχόντων τῶι θεῶι ὅ τε ἀποδόμενος Νίκαιος καὶ ὁ βεβαιω|τὴρ Φερένικος· εἰ δέ κα μὴ παρέ||χωντι, πράκτιμοι ἐόντων | κατὰ τὸν νόμον. ὁμοίως δὲ | καὶ οἱ παρατυγχάνοντες κύριοι ὄν|των συλέοντες ὡς ἐλεύθερον ἐόν|τα ἀζάμιοι καὶ ἀνυπόδικοι ὄντες πά||σας δίκας καὶ ζαμίας. μάρτυ|ρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλω|νος Ἀμύντας, Ταραντῖνος, | ἰδιῶται Θεύξενος, Καλλεί|δας, Εὐκλείδας, Ἐμμενίδας ‖ Δελφοί, Ξένυλλος, Εὔαρχος | Τολφώνιοι, Σώπολις Ἐριναῖος.

W.-F. Z. 10 κατὰ τὸν νόμον, Stein TONOMON. — Wie hier ν, so vergass der Steinmetz Z. 24 das eine μ; er schlug EME° ein, setzte dann aber M klein über M und E. — Zum Construktionswechsel in Z. 8—10 vgl. 1847, 17 u. a. — Z. 12 ist das Objekt zu supplieren, vgl. 1857, 6; 1885, 10.

Zeit. Priesterschaft IV: August/September 169.

1889 *W.-F.* 224. C. v. B.

Ἄρχοντος ἐν Δελφοῖς Ἐμμενίδα τοῦ Καλλία | μηνὸς Ἐνδυσποιτροπίου, ἐν δὲ Ἀμφίσ(σ)αι ἄρχοντος Χαριξένου | μηνὸς Ποιτροπίου, ἀπέδοτο Σωσὼ Δαμοξένου Ἀμ(φ)ισσὶς | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον παιδάριον (ὧι) ὄνυμα Σωσίφιλος τὸ γένος ἐνδογενῆ, τιμᾶς ἀργυρίου μνᾶ[ς], | καὶ τὰν τιμὰν ἔχει, καθὼς ἐπίστευσε Σωσίφιλος | τὰ[ν] ὠνὰν τῶ θεῶ, ἐφ' ὅτω ἐλεύθερος εἶμεν καὶ ἀνέ|φαπτ[ο]ς ἀπὸ πάντων τὸν πάντα χρόνον. βεβαιωτῆ|ρες κατ[ὰ τ]οὺς νόμους τᾶς πόλιος· Ἀστόξενος Διονυσί||ου Δελφ[ό]ς, Εὐθύδαμος Πασίνου Ἀμφισ(σ)εύς. εἰ δέ τις | καταδουλί⟨σ⟩ζοιτο Σωσίφιλον, κύριος ἔστω ὁ πα|ρατυ[χὼ]ν συλέων Σωσίφιλον ὡς ἐλεύ|θερον ὄ[ντα] ἀνυπόδικος ἐὼν καὶ ἀζάμιος | πάσας δίκα[ς] καὶ ζ[α]μίας. μάρτυρες· ὁ ἱερεὺ||ς τοῦ Ἀπό[λ]λω[νο]ς Ἀμύντας καὶ τῶν | ἀρχόντων Ἄθ[αμβο]ς καὶ ἰδιῶται | Ἀρχέλαος, Ἀρι[στίων Δ]ελφοί, Κλε . . | . . . . | [Ἀμ]φισσε[ῖς].

W.-F. Z. 2. Ἀμφίσ[σ]αι. Der Steinmetz war in der Schreibung inconsequent: Z. 2 Ἀμφίσαι, Z. 10 Ἀμφισεύς, aber Z. 3 Ἀμ[φ]ισσίς u. Z. 19 [Ἀμ]φισσε[ῖς]. — Z. 3 Ἀμφισσίς, dazu in den *Notes* S. 309: Inscr. ΑΜΙΦΣΣΙΣ. Das ist falsch. Nach AMI folgt ein Riss, dann ΣΣΙΣ, also vergass der Steinmetz das φ. — 4 ὄνυμα sicher, vgl. 1703, 2 ὀνύματα. — 5 μνᾶς|. — 7 τὰν ὠνὰν τῷ θεῷ. — 7 Ende ἀνέ|φαπτος. — 9 κατὰ τοὺς νόμους. — 10 Δελφός, dann Ἀμφισσεύς. — 11 καταδουλίζοιτο, mit dem Verweise auf obige Schreibung S. 309. Nach Σω schlug der Steinmetz Λ ein, corrigierte sich aber gleich, indem er dahinter Σ drängte. — 13 ὄ[ντ]α. — 14 δίκας καὶ ζαμίας. — 15 Ἀπόλλωνος. — 16 [Ἄ]θαμβ[ο]ς, danach fehlt καί. — 17 Ἀριστίω[ν Δε]λφοί. —

19 [Ἀμ]φισσεῖς. — Aus allem ergiebt sich, dass die Inschrift sehr gelitten hat. — Der Nominativ *Σωσίφιλος* in Z. 5 drängt zu der Annahme, dass der Steinmetz vor *ὄνυμα* den Dativ *ὧι* ausliess. Wenn *ὄνυμα* accusativus graecus sein sollte, wäre mit *Σωσίφιλον* fortgefahren worden.

Zeit. Priesterschaft IV (170—157/6); vgl. z. B. 1822, Z. 1 u. 11.

1890 *W.-F.* 225. C. v. B.

Ἄρχοντος [Ἄ]ρχωνος μηνὸς Ἰλαίο[υ, ἐπὶ] | τοῖσδε ἀπέδοντ[ο] Κλεύδαμος Μαντία [καὶ] | Καλλικράτεια Καλ[λιγ]ένεος Δελφοί, συνε[παι]|νέοντος καὶ τοῦ υἱ[οῦ Κα]λλιγένεος, τῶι Ἀπ[όλλω]||νι τῶι Πυθίωι σῶμα γ[υναικε]ῖον ἇι ὄνομα Δαμ[ατρία], | τιμᾶς ἀργυρίου πέντε [ἡμιμναί]ων, καθὼς ἐπίσ[τευσε] | Δαματρία τῶι θεῶι τὰ[ν ὠνάν, ἐ]φ᾽ ὥιτε ἐλευθέρ[αν εἶ]μεν καὶ ἀνέφαπτον ἀπὸ [πάντων τ]ὸμ πάντα βίον. βεβαι|ωτὴρ κατὰ τὸν νόμον· Αἰακ[ίδας Φιλα]ιτώλου Δελφός. παρα||μεινάτω δὲ Δαματρία παρὰ Κ[λεύδαμ]ον καὶ Καλλικράτειαν | ἄχρι κα ζώωντι Κλεύδαμος κ[αὶ Καλ]λικράτεια ποιέουσα | τὸ ποτιτασσόμενον πᾶν τὸ δυν[ατὸ]ν ἀνενκλήτως· εἰ δέ τί | κα μὴ ποιήσῃ Δαματρία τῶν ποτιτασσομένων ὑπὸ Κλευ|δάμου καὶ Καλλικρατείας καθὼς γέγραπται δυνατὰ || ἐοῦσα, ἐξέστω Κλευδάμωι καὶ Καλλικρατείαι κολάζε[ι]ν | καθώς κα αὐτοὶ θέλωντι καὶ ἄλλω ὑπὲρ Κλεύδαμον καὶ | Καλλικράτειαν ὅ[ν] κα Κλεύδαμος καὶ Καλλικράτεια κελεύ|σωντι ἀζαμίοις ὄντοις καὶ ἀνυποδίκοις πάσας δίκας καὶ | ζαμίας· εἰ δέ τί κα πάθωντι Κλεύδαμος καὶ Καλλικράτεια, ἐ||λευθέρα ἔστω Δαματρία κυριεύουσα αὐτοσαυτᾶς καὶ ποι|έουσα ὅ κα θέλῃ καὶ ἀποτρέχουσα οἷς κα θέλῃι, καθὼς ἐπίστευ|σε τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται ἐπὶ καταδου|λισμῶι Δαματρίας τελευτάσαντος Κλευδάμου καὶ Καλλικρατείας, βέβαιον παρεχέτω ὁ βεβαιωτὴρ τῶι θεῶι τὰν || ὠνὰν κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | κύριοι ἐόντων συλέοντες ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι | ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυ|ρες· τῶν ἀρχόντων Χαρίξενος, Νικόμαχος, ἰδιῶται | Ξενέας, Ἀστύοχος, Εὐκλείδας, Ξεναγόρας, || Μένης, Τίμων, Σωσίας Λεπτίνα.

Seitdem *W.-F.* ihre Abschrift nahmen, hat die Inschrift 2 bedeutende Verletzungen erfahren: erstens sind die Zeilenenden von 1—7 abgestossen; zweitens hat sich in der Mitte der Zeilen 1—12 eine Lücke gebildet, die von Z. 1—6 an Breite zunimmt, bei 6—8 die grösste Breite hat und bis 12 wieder abnimmt. *W.-F.* geben alles, was ich in Z. 1—12 eingeklammert habe, noch voll. — In Z. 10 habe ich zu notieren, dass beim Worte *παρά* in Π wie in Ρ corrigiert ist; hier hatte sich der Steinmetz ur-

sprünglich versehen — *W.-F.* Z. 15 *κολάζειν*, 17 *ὃν* voll. — In Z. 21 hat wirklich das erste *θέλη* kein Jota, das zweite hat es.

Zeit. Priesterschaft IV (170—157/6); vgl. 1886, Z. 1 u. 21/22.

1891 *W.-F.* 226. C. v. B.

Ἄρχοντος Φιλοκράτεος τοῦ Ξένω|νος μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο | Ἀστόξενος Διονυσί[ο]υ τῶι Ἀπόλ(λ)ων[ι] | τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνο[μ]α ‖ Σαραπιάς, τιμᾶς ἀργυρίου μνᾶν ἕξ, | καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς | ἐπίστευσε Σαραπιὰς τῶι θεῶι τὰν | ὠνάν, ἐφ' ὅτωι ἐλευθέραν εἶμεν καὶ | ἀνέφαπτον ἀπὸ πάντων τὸν πάν‖τα χρόνον, ποιοῦσα ὅ κα θέλη καὶ ἀποτρέχουσα οἷς κα θέληι. βεβαιωτὴρ | κατὰ τὸν νόμον τᾶς πόλιος· Ἀριστί|ων Ἄγωνος. εἰ δέ τίς κα ἐφάπτη|ται Σαραπιάδος ἐπὶ καταδουλισ‖μῶι, βέβαιον παρεχόντων τῶι | θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμε|νος Ἀστόξενος καὶ ὁ βεβαιω|τὴρ Ἀριστίων Ἄγωνος. εἰ δὲ | μὴ παρέχοιν βέβαιον τὰν ‖ ὠνὰν τῶι θεῶι, πράκτιμοι ἐό|ντων κατὰ τὸν νόμον τᾶς πό|λιος. ὁμοίως δὲ καὶ οἱ παρα‖[τυγχάνον]τες κύριοι ἐόν|[των συλέοντ]ες Σαραπιάδα ὡς ἐ‖[λευθέραν] οὖσαν ἀζάμιοι ἐόντες καὶ ἀ‖[νυπόδικοι π]άσας δίκας καὶ ζαμίας. εἰ δέ κά τι | [πάθηι Σαραπιὰς] καὶ ἔχηι γενεὰν ἀπὸ τᾶς ἀρχᾶς | [τᾶς Φιλοκ]ράτεος τοῦ Ξένωνος, κυρία ἔστω ἔχουσα | [ἁ γενεὰ τὰ] Σαραπιάδος· εἰ δὲ ἀγένειος εἴη Σαραπιὰς Ἀστοξέ‖[νωι, πάντα] τὰ ὑπάρχοντα τὰ Σαραπιάδος Ἀστοξένου ἔστω | [καὶ τῶν] ἐκγόνων Ἀστοξένου, μηδὲ δόσιν ποησάτω Σαραπι|[ὰς μη]θενὶ τῶν ὑπαρχόντων τῶν ἰδίων· εἰ δὲ ποιήσαιτο, ἄκυρος | ἁ δόσις ἔστω. μάρτυροι· ὁ ἱερεὺς Ἀνδρόνικος καὶ οἱ ἄρχοντες Ἀρι|στίων Ἄγωνος, ἰδιῶται Μένης, Φίλαγρος, Ἀλέξανδρος.

W.-F. Z. 3 *Διονυσίου*, dann *Ἀπόλ[λ]ωνι*, Stein °ΟΛΩ°, vgl. 1761, 4 und Index. — 4 *ὄνομα*. — 8 *ἐφ' ὧιτε* statt *ἐφ' ὅτωι*. — 10 *θέλη* ohne, 11 mit Jota, so hat's der Stein auch. — Z. 17 Nach *βεβαιω* ist dittographisches *τηρ* — oder vielleicht auch nur *τη* — ausgeschlagen. — Schon *W.-F.* notierten von Z. 24—32 an den Zeilenanfängen eine starke Verletzung. Diese hat jetzt noch etwas zugenommen. *W.-F.* Z. 22/23 *παρα|τυγχάνοντες* noch voll. — 23/24 *ἐόν[των]*. — 24/25 *ἐ|[λευθέρ]αν*. — 25/26 *ἀ|[νυπόδικοι]*. — 27 |*[πάθηι Σαραπιά]ς*. — Z. 28—30 fehlen zu Anfang 8 Zeichen. Dem entspricht die auch sachlich zu billigende Ergänzung von *W.-F.* in Z. 29 genau. — Zum Constructionswechsel nach *ἐφ' ὅτωι* in Z. 10 und 11 vgl. 1847, 7. — Z. 31 ist *μηδὲ* nach positivem Imperativ bemerkenswert, so auch 1830, 26, vgl. dagegen z. B. 1696, 13 *Λιρίου ἔστω καὶ μὴ ἔστω κτλ.*; 1832, 7. — Z. 31 steht *ποησάτω*, 32 *ποιήσαιτο*. — Zum Plural *οἱ ἄρχοντες* Z. 33 vgl. 1791, 12; 1862, 5; 1880, 12.

Zeit. Priesterschaft V (etwa 156—151). Der College des *Ἀνδρόνικος* ist *Ἀμύντας*, vgl. 33 mit 1911, 8; 1924, 20. Die Collegen des *Ἀριστίων* sind *Ἀστόξενος* (1892, 16; 1893, 13) und *Ξένων* (1893, 12; 1897, 8).

1892 *W.-F.* 227. C. v. B.

Ἄρχοντος Φιλοκράτεος μηνὸς Ἰλαίου, ἀπέδοντο Εὐάγγελος | Πάτρωνος καὶ Ἄθαμβος Ἀγάθωνος τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα ἀνδρεῖον ὧι ὄνομα Πρόθυμος τὸ γένος Ἄραβα, τιμᾶς ἀρ|γυρίου μνᾶν τεττάρων, καὶ τὰν τιμὰν ἔχοντι πᾶσαν, καθὼς ἐπί‖στευσε τὰν ὠνὰν τῶι θεῶι Πρόθυμος, ἐφ' ὅτωι ἐλεύθερος εἶ|μεν τὸν πάντα χρόνον, αὐτὸν ποιοῦντα ὅ κα θέλη καὶ ἀποτρέ|χοντα οἷς κα θέλη. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Ἰα|τάδας Πάτρωνος. εἰ δέ τίς κα ἐφάπτηται Προθύμου ἐπὶ κα|ταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν οἵ τε ‖ ἀποδόμενοι Εὐάγγελος καὶ Ἄθαμβος καὶ ὁ βεβαιωτὴρ | Ἰατάδας. εἰ δὲ μὴ παρέχοιν βέβαιον τὰν ὠνὰν τῶι θεῶι, πρά|κτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ πα|ρατυγχάνοντες κύριοι ἐόντων συλέοντες Πρόθυμον ὡς ἐ|λεύθερον ἐόντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας ‖ δίκας καὶ ζαμίας. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἀνδρό|νικος καὶ οἱ ἄρχοντες Ἀριστίων Ἄγωνος, Ἀστόξενος, ἰδι|ῶται Ἄθαμβος Ἀβρομάχου, Φίλαγρος Φίλωνος, Βαβύλος, Δεξώνδας Δάμωνος.

Die Inschrift ist bis auf 3 lädierte Zeichen (Z. 7, 10, 16) tadellos erhalten und so von *W.-F.* wiedergegeben. — Derselbe Constructionswechsel wie Z. 6/7 auch 1854, 16 u. 17.

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1891.

1893 *W.-F.* 228. C. v. B.

Ἄρχοντος Φιλοκράτεος τοῦ Ξένωνος μηνος Ἰλαίου, ἀπέ|δοτο Θεύδοτος Εἰραναίου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶ|μα ἀνδρεῖον ὧι ὄνομα Εὔτυχος τὸ γένος Σύρον, τιμᾶς ἀρ|γυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπί‖στευσε Εὔτυχος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος | εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιέ|ων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέλη. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλ[ιος]· | Ἄθαμβος Ἀθανίωνος. εἰ δὲ μὴ παρέχοιεν βέβαιον τὰν ὠνὰν τῶι θεῶι ὅ τε ἀποδ[ό]μενος Θεύδοτος καὶ ὁ βεβαιωτὴρ Ἄθαμβος, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον ‖ τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες Εὔτυχον | ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ἐόντες καὶ

ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. | μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἀνδρόνικος καὶ οἱ ἄρχοντες Ξένων Φιλοκράτεος, | Ἀριστίων Ἄγωνος, Ἀστόξενος Διονυσίου καὶ ἰδιῶται Ἵππων, | Καλλικλῆς, Κλέων Κλευδάμου, Πολύξενος, Τιμόκριτος.

W.-F. Z. 7 πόλιος. — 8 ἀποδό|μενος. — Bis auf den kleinen Abbruch an den Enden von Z. 7 u. 8 und die Verletzung zweier Zeichen in Z. 9 u. 10 tadellos erhalten und so von *W.-F.* wiedergegeben.

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1891.

1894 *W.-F.* 229. C. v. B.

Ἄρχοντος ἐν Δελφοῖς Ἥρυος τοῦ Πλειστωνος μηνὸ[ς] Βυσίου, ἀπέδοτο Αἰακί|δας Φιλαιτώλου τῶι Ἀπόλλωνι σῶμα γυναικεῖ[ον] ἇι ὄνομα Σαφφὼ τὸ γέ|νος Τιβαρανάν, τιμᾶς ἀργυ[ρ]ίου μνᾶν τριῶν, καὶ [τὰν τι]μὰν ἔχει, καθὼς ἐπί|στευσε τὰν ὠνὰν Σαφφὼ τῶι θεῶι, ⟨ἐφ' ὥτωι ἐλευθέραν [ε]ἶμεν Σαφφώ⟩, συνευδο||κεόντων καὶ τῶν υἱῶν Αἰακίδα, Φιλαιτώλου καὶ Αἰνησία, ἐφ' ὥτωι ἐλευθέραν εἶμεν | Σαφφὼ καὶ ἀνέφαπτον τὸν πάντα βίον, ποιοῦσαν ὅ κα θ[έ]λῃ κα[ὶ] ἀποτρέχουσαν ο[ἷ]ς κα θέ|λῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Νικόμαχος Δεξίππου. εἰ [δ]έ τις ἅπτοιτο [Σ]αφ[φ]οῦ[ς] | ἐπὶ καταδουλισμῷ, βέβαιον παρεχέτω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος καὶ ὁ βε[β]αιωτήρ· | εἰ δὲ μὴ παρέχοιν τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ὄντω κατὰ τὸν νόμον τᾶς πόλιο[ς. ὁ]μοίως δ[ὲ] || καὶ οἱ παρεντυγχάνοντες κύ[ρ]ιοι ἐόντω συλέοντες Σαφ[φ]ὼ ὡς ἐλευθέραν οὖσαν καὶ ἀνέφα|πτον ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μά[ρτ]υροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνο[ς

Diese Nummer hat sehr gelitten. *W.-F.* Z. 1 μηνὸς Βυσίου. — Der nach Φιλαιτώλου Z. 2 weggelassene Passus συνευδοκεόντων κτλ. folgt nachträglich Z. 4/5. — *W.-F.* 2 γυναικεῖον. — 3 ἀργυρίου, dann καὶ τὰν τιμὰν ἔχει. — 4 εἶμεν. Das von mir in ⟨ ⟩ Gesetzte gehört nach Z. 5. Der Steinmetz geriet offenbar in die falsche Zeile der Vorlage. S. ein ähnliches Beispiel 1922, 9. — 5 Αἰν[ησ]ία. — 6 ὅ κα θέλῃ καὶ ἀποτρέχουσαν οἷς. — 7 εἰ δέ τις ἅπτοιτο Σαφφοῦς. — 8 βεβαιωτήρ. — 9 τᾶς πόλιος· ὁμοίως δὲ | καί. — 10 κύριοι, dann Σαφφώ. — 11 μάρτυροι, dann τοῦ Ἀπόλλωνος [.......]. — Die folgenden 2 vorgezogenen Linien, also 12 u. 13, blieben unausgefüllt. — Ueber die Variationen in der Schreibung des Namens Σαπφώ s. Vf. Stud. I. 60. — Die Τιβαρηνοί heissen bei den Autoren auch Τιβαρανοί, dazu das Adj. Z. 3. — Z. 5 Drei Wörter werden in diesen Denkmälern öfters so verbunden wie Αἰακίδα, Φιλαιτώλου **καὶ** Αἰνησία (vgl. 1776, 16/17; 1784, 8); damit wechselt Asyndeton und Polysyndeton, also alle 3 Arten sind möglich.

Zeit. Priesterschaft V (etwa 156—151); vgl. 1895, 14.

1895 *W.-F.* 230. C. v. B.

Ἄρχοντος ἐμ μὲν Ἡρακλεία Ἀριστοβούλου Πάτρωνος Θεοδώρου μηνὸς Ἡάτου, ἐν Δελφο(ῖ)ς δ[ὲ] ἄρχοντος | Ἥρυος τοῦ Πλείστωνος μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Πολέμαρχος Φύσκου, συνευδοκέ|οντος καὶ τοῦ ὑοῦ Λέωνος καὶ Λανίκας, Ἡρακλεῶται, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον | ἆι ὄνομα Δωρὶς τὸ γένος Θρᾶισαν καὶ τὸν ὑὸν αὐτᾶς ὧι ὄνομα Ἀπολλόδωρος τὸ γένος ἐνδογ[ε]νῆ, τι‖μᾶς ἀργυρίου μνᾶν δύο καὶ ἡμιμναίου, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Δωρὶς καὶ Ἀπολ|λόδωρος τῶ θεῶ τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρους ε[ἶ]μεν καὶ ἀνεφάπτους ὑπὸ πάν|των τὸν πάντα βίον, ποιέοντας ὅ κα θέλωντι. βεβα[ι]ωτῆρες κατὰ τὸν νόμον· Πα|τρέας Ἀνδρονίκου Δελφός, Καλλίξενος Ἀλεξάνδρ[ο|υ] Ἡρακλεώτας. εἰ δέ τίς κα ἐφά|πτηται Δωρίδος ἢ Ἀπολλοδώρου ἐπὶ καταδουλισμῶ, βέβαιον παρεχόντων τῶι θε‖ῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Πολέμαρχος καὶ οἱ βεβαιωτῆρες Πατρέας, Καλλί|ξενος. εἰ δέ κα μὴ παρέχωντ[ι], πράκτιμοι ἐόντων κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ | οἱ παρατυγχάνοντες κύριοι [ἐ]όντων συλέοντες ὡς ἐλευθέρους ἐόντας | ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μ[ά]ρτυ|ροι· τοὶ ἱε[ρ]εῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ἀνδρόνικος καὶ ‖ τῶν ἀρχόντων Τελέσαρχος Δαμοτέλ[ε]ος καὶ ἰδιῶται | μάρτυρες Δελφοὶ Ἰατάδας Πάτρωνος, [Γ]ενναῖ|ος, Νίκα[ρ]χος [Ἐρά]τωνος, Βαβύλος, Σκό|πα[ς], Θευγένης Ἱεροκλέος, | Τυρβαῖος.

W.-F. Z. 1 *ἐν Δελφοῖς δὲ ἄρχοντος.* — 2 *Φύσ[κ]ου.* — 4 *ἐνδογενῆ.* — 6 *εἶμεν.* — 7 *βεβαιωτῆρες.* — 8 *Ἀλεξάνδρου.* — 11 *παρέχωντι.* — 12 *ἐόντων.* — 13 *μάρτυ|ροι.* — 14 *ἱερεῖς.* — 15 *Δαμοτέλεος.* — 16 *Γενναῖος.* — 17 *Νίκαρχος Ἐράτωνος.* Nach dem Nominative fand ich eine Lücke. Wieviel Zeichen darin standen, ist nicht zu berechnen, weil der Stein hier sehr rissig ist. Oben schloss ich mich der Lesung von *W.-F.* an. — Inconsequent ist Z. 1 *ἐμ μέν*, Z. 7 *τὸν πάντα*. — Die Bestimmung eines Mannes durch 2 Vorfahren ist in Delphi nicht üblich, anders in *Ἡράκλεια ἡ ἐν Τραχῖνι*. — Ganz singulär ist Z. 1 *Ἥατος*. — Vor *Λανίκας* (d. i. *Λᾱ-νίκας*) hätte der Steinmetz, wie sonst, *τᾶς θυγατρὸς* setzen sollen. — Für die Apposition *Ἡρακλεῶται* Z. 3 war der Hauptbegriff *Πολέμαρχος* bestimmend, nicht das Zunächststehende. — Z. 6 bemerkenswert *ὑπὸ* statt *ἀπὸ πάντων*. So auch 1911, 6/7; 1932, 8. — Zu *ἰδιῶται μάρτυρες* Z. 15/16 vgl. 1713, 10; 1953, 6.

Zeit. Priesterschaft V (etwa 156—151).

1896 *W.-F.* 231. C. v. B.

Ἄρχοντος Φιλοκράτεος μηνὸς Ἰλαίου, ἀπέδοτο | Κλεύδικος Δωροθέου τῶι θεῶι σῶμα γυναικεῖον | ἆι ὄνομα Ἐπιστροφά, τ[ι]μᾶς ἀργυρίου μνᾶν πέντε, | καὶ παιδάριον ὧι ὄνομα Παροίτας, τιμᾶς ἀργυρί‖ου μνᾶς, καὶ τὰν τιμὰν ἔχει παρὰ Ἐπιστροφᾶς | καὶ Παροίτα. τὰν δὲ ὠνὰν ἐπίστευσαν τῶι θεῶι, | ἐφ᾽ ὅτωι ἐλεύθεροι εἶμεν καὶ ἀνέφαπτοι ἀπὸ πάν|των τὸν πάντα χρόνον. βεβαιωτήρ· Δαμένης Ὀρέστα. μάρτυροι· Ἀνδρόνικος ὁ ἱερεύς, Ἀριστίων ‖ Ἄγωνος ἄρχων, Μένης, Εὐχαρίδας, Κλέων, Δικαίαρχος.

W.-F. Z. 3 *τιμᾶς.*

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1891.

1897 *W.-F.* 232. C. v. B.

Ἄρχοντος Φιλοκράτεος μηνὸς Ἰλαίου, ἀπέδοτο Ἀγα|θοκλῆς Ἀντιχάρεος Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυ|θίωι ἐπ᾽ ἐλευθερίαι σῶμα γυναικεῖον ἆι ὄνομα Σω|σιβία τὸ γένος οἰκογενῆ, τιμᾶς ἀργυρίου μνᾶν τρι‖ῶν, καὶ τὰν τιμὰν ἔχει. βεβαιωτὴρ κατὰ τὸν νόμον· | Ἀντιχάρης Ἀζαράτου. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλω|νος Ἀνδρόνικος, νεωκόρος Μένης, ἄρχοντες Ἀριστί|ων, Ἀστόξενος, Ξένων, ἰδιῶται Ἀρχίας Ἀρχελάου, Ἐμμε|νίδας Δεξικράτεος, Εὐκλ[είδ]ας Καλλείδα, ‖ Μνασικράτης Καλλιξένο[υ, Τι]μόξενος, Εὐκλεί|δας.

W.-F. Z. 3 *ἐπ᾽ ἐλευθερίᾳ*, Stein °ΙΑΙ. — 9 *Εὐκλείδας*, aber von *ειδ* sind nur die obersten Spitzen der Zeichen zu sehen.

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1891.

1898 *W.-F.* 233. C. v. B.

[Ἄρχοντ]ος Ἀθάμβου μηνὸς Ἰλαίου, ἀπέδοτο Τεί|[σ]ιχο[ν Ὀ]ρθαίου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα παι|δάριο[ν] ὧι ὄνομα Ἡρακλείδας, ἀργυρίου μνᾶν τριῶν. | ἐλε[ύ]θερος δὲ ἔστω Ἡρακλείδας καὶ ἀνέφαπτος ἀπὸ πάν‖των, [κ]αθὼς αὐτὸς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν, ὥστε | ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων. βεβαιωτήρ· Ἀστό|ξενος Διονυσίου. εἰ δέ τις ἐνάπτοιτο Ἡρακλείδα ἐπὶ καταδουλισ|μῶι, κύριος ἔστω ὁ παρατυχὼν συλέων ὡς ἐλεύθερον ὄντα. μάρτυροι· | οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ἀνδρόνικος [κ]αὶ οἱ ἄρχοντες Ἀριστί|ων, Εὔδωρος, ἰδιῶται Καλλείδας, Νικάσιππος.

W.-F. Z. 1 *ἄρχοντος.* — 1/2 *Τείσιχον Ὀρθαίου.* — 2/3 *παι|δάριον.* — 4 *ἐλεύθερος.* — 5 *καθὼς αὐτὸς ἐπίστευσε.* — 9 *καὶ οἱ.*

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1709.

1899 *W.-F.* 234. *Ditt.* 461. C. v. B.

Ἄρχοντος Ἀθάμβου τοῦ Ἁβρομάχου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο | Διονύσιος καὶ Πολίτας οἱ Ἀσάνδρου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀν|δρεῖον ὧι ὄνομα Δάμων, τιμᾶς ἀργυρίου μ(ν)ᾶν ἕξ, καθὼς ἐπίστευσε Δάμων | τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὅτωι ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων ‖ τὸμ πάντα χρόνον, ποιέων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέλη. βεβαιωτῆρες | κατὰ τὸν νόμον τᾶς πόλιος· Δρομοκλείδας Ἁγίωνος, Ἀστόξενος Διονυσίου, Δίων | Ἀλέξωνος. εἰ δέ τίς κα ἐφάπτηται Δάμωνος ἐπὶ καταδουλισμῶι, βέβαιον παρ[ε]|χόντω τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀποδόμενοι Διονύσιος καὶ Πολίτας καὶ οἱ βεβαιω|τῆρες Δρομοκλείδας, Ἀστόξενος, Δίων· εἰ δὲ μὴ παρέχοιεν βέβαιον τὰν ὠνὰν τῶι ‖ θεῶι, πράκτιμοι ἐόντω κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυχόντες κύριοι ἐό[ν]τω συλέοντες ὡς ἐλεύθερον ὄντα ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμί|ας. εἰ δὲ χρείαν ἔχοι Διονύσιος, συνιατρευέτω Δάμων μετ' αὐτοῦ ἔτη πέντε λαμβάνων | τὰ ἐν τὰν τροφὰν πάντα καὶ ἐνδ[(ι)]δ[(υ)]σκόμενος καὶ στρώματα λαμβάνων. μάρ[τ]υρες· ὁ ἱα|ρεὺς τοῦ Ἀπόλλωνος Ἀμύντας καὶ τῶν ἀρχόντων Ἀριστίων Ἄγωνος καὶ ἰδιῶται Σωσικρ[ά]‖της, Φιλαίτωλος Φαίνιος, Διόδωρος Ἡράκωνος, Εὐκλείδας, Δρομοκλείδας, Ἀ[σ]τόξενος, Δίων.

W.-F. Z. 3 *μ[ν]ᾶν*, Stein MAN. — 7/8 *παρε|χόντω*. — 10/11 *ἐόν|τω*. — 13 *μάρτυρες*. — 14/15 *Σωσικρά|της*. — 15 *Ἀστόξενος*. — Zum Wechsel in der Construction nach *ἐφ' ὅτωι* vgl. 1824, 4/5. — Nach Z. 4 u. 5 erhält *Δάμων* volle Freiheit, erst Z. 12 wird eine Clausel angefügt, die singulär ist: für 5 Jahre eine Art *παραμονά* gegen Gewährung von Unterhalt, Kleidung und Betten. — Zur Form *ἐν-δυ-δισκόμενος* Z. 13 (so der Stein) ist zu bemerken: Parallelen wie *τι-τύ-σκο-μαι* lehren, dass regelrecht nur die Schreibung *ἐν-δι-δυ-σκόμενος* sein kann. Der Steinmetz hat offenbar die Silben vertauscht. Im NT. h. *ἐν-δι-δύσκω* „anziehen lassen", hier steht das Particip für *ἐνδυόμενος*.

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1709.

1900 *W.-F.* 235. C. v. B.

Ἄρχοντος Φιλοκράτεος τοῦ Ξένωνος μηνὸς Βοαθόου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀστόξενος | Διονυσίου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Νῦσα, τ[ι]μᾶς ἀργυρί|ου

μνᾶν δέκα, καθὼς ἐπίστευσε Νῦσα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὅτωι ἐλευθέραν εἶ|μεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιοῦσα ἃ κα θέλη καὶ ἀπο‖τρέχουσα οἷς κα θέλη. βεβαιωτὴρ κατὸν νόμον τᾶς πόλιος· Διονύσιος [Ἀ]σάνδρου. | εἰ δέ τίς κα ἐφάπτηται Νύσας ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι θεῶι | τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἀστόξενος καὶ ὁ βεβαιωτήρ· εἰ δὲ μὴ παρέχοιεν βέβαιον τὰν | ὠνὰν τῶι θεῶι, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυχόντες | κύριοι ἐόντων συλέοντες ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι ‖ πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τῶν ἀρχόντων Ἀλκῖνος, ἰδιῶται Πλείστων, Δίων, | Ἀρτεμίδωρος, Ξένων, Καλλείδας.

W.-F. Z. 2 *τιμᾶς*. — 5 *κα[τὰ] τὸν νόμον*, Stein KATON, dagegen wie ggr. Z. 8. — 5 Ende *Ἀσάνδρου*.

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1891. Die Collegen des *Ἀλκῖνος* heissen *Βάκχιος* (1901, 8; 1902, 5; 1903, 13) und *Λαιάδας* (1924, 21).

1901 *W.-F.* 236. C. v. B.

Ἄρχοντος ἐμ μὲν Δελφοῖς Φιλοκράτεος τοῦ Ξένωνος μηνὸς Δαιδαφορίου, ἐν δὲ Λο|κροῖς ἀγωνοθετέοντος Νικέα τοῦ Δαμαρμένου Οἰανθέος μηνὸς τετάρτου, ἐπὶ τοῖσδε | ἀπέδοτο Καλλικράτεια Δεξικράτεος Τριτίς, συνευδοκέοντος καὶ τοῦ ἀνδρὸς Δαμοφίλου, | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Φιλοκράτης τὸ γένος Ἀπειρώταν, τι‖μᾶς ἀργυρίου μνᾶν ἕξ, ἐφ' ὧιτε ἐλεύθερον εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάν|τα βίον, καθὼς ἐπίστευσε Φιλοκράτης τὰν ὠνὰν τῶι θεῶι, ποιέων ὅ κα θέλη. βεβαιωτὴρ | κατὰ τὸ σύμβολον· Εὐάγγελος Πάτρωνος Δελφός, κελεύσαντος Δαμοφίλου. | μάρτυροι· τῶν ἀρχόντων Βάκχιος· Θεύξενος, Ἁγίων, Κλεόδικος, Ἀρτεμίδωρος, | Καλλείδας Εὐκλείδα, Εὐκράτης Καλλίκωνος Δελφοί, Θεοφάνης, Δαμόφιλος ‖ Τριτεῖς.

Bis auf die verletzten Zeichen in *μηνὸς τετάρτου* Z. 2 und *καί* in Z. 3 tadellos erhalten. S. 309 haben *W.-F.* die Anmerkung zu Z. 3: Inscr. ΤΡΙΤΙΙΣ. Das ist unrichtig; denn sie rechnen dann einen Steinriss für Jota. — Inconsequent *ἐμ μὲν* Z. 1, *τὸν πάντα* Z. 5; *Θεύ-ξενος* Z. 8 neben *Κλεό-δικος* und *Θεο-φάνης*. — Zur Schreibung *Οἰανθεύς* vgl. 1851, 14. — Z. 6 trug der Steinmetz das vergessene Sätzchen *ποιέων ὅ κα θέλη* nach; die Vorlage hatte es sicher nach *βίον*. — Z. 7 Der Zusatz *κελεύσαντος Δ.* wie 1785, 14. — Z. 8 nur ein Archont ist Zeuge; Z. 9 *Δαμόφιλος* ist der Gatte.

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1900.

1902 *W.-F.* 237. C. v. B.

Ἄρχοντος Φιλοκράτεος μηνὸς Ποιτροπίου, ἀπέδοντο Ἀναξὶς Ἐμμενίδα | καὶ Ἐμμενίδας Δεξικράτεος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνο|μα Διονύσιος τὸ γένος Θρᾶικα, τιμᾶς ἀργυρίου μνᾶν δύο, καὶ τὰν τιμὰν ἔχον|τι. βεβαιωτὴρ κατὰ τοὺς νόμους· Ἄρχων Καλλία. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλ||λωνος Ἀνδρόνικος καὶ τῶν ἀρχόντων Βάκχιος κα[ὶ] Ἀλκῖνος καὶ ἰδιῶται | Ἀστόξενος, Φίλαγρος Διοδώρου, Ἄθαμβος Ἀθανίωνος, Σωσύλος Ἀλκία.

Das Sigma von *νόμους* (Z. 4) fand ich verletzt, vom zweiten *καὶ* in Z. 5 sah ich Jota nicht: sonst ist die Inschrift tadellos erhalten und so von *W.-F.* wiedergegeben.

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1900.

1903 *W.-F.* 238. C. v. B.

Ἄρχοντος Φιλοκράτεος τοῦ Ξένωνος μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο | Ἀστόξενος Διονυσίου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Σωτή|ριχος τὸ γένος Θρᾶικα, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Σωτήρι|χος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάν||τα χρόνον, ποιέων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέ[λ]η. βεβαιωτὴρ κατὰ τὸν νό|μον τᾶς πόλιος· Ἀριστίων Ἄγωνος. εἰ δέ τίς κα ἐφάπτηται Σωτηρίχου ἐπὶ καταδου|λισμῶι, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἀστόξενος | καὶ ὁ βεβαιωτὴρ Ἀριστίων· εἰ δὲ μὴ παρέχοιεν βέβαιον τὰν ὠνὰν τῶι θεῶι, | πράκτιμο[ι] ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ ο[ἱ] || παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες ὡς ἐλεύθερον | ἐόντ-α ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας | καὶ ζαμίας. μάρτυροι· οἱ ἄρχοντες Βάκχι|ος καὶ Ἀλκῖνος καὶ ἰδιῶ|ται Σωσύλος Ἀλκία, Ξε||νόκριτος, Ἀντίφιλος, | Πλείστων, Ξένων Ξε|νοκρίτου, Τιμόκριτος.

W.-F. Z. 5 *οἷς κα θέλη*. — 9 *πράκτιμοι*. — 9 Ende *οἱ*. — 10 [*πα*]*ρατ°*, aber *πα* ist klar. — Zu Z. 11 notieren sie S. 309: Inscr. . ΟΝΤΑΑΑΞΑΜΙΟΙ. Das ist unrichtig. Nach *ἐοντ*, dessen *ε* deutlich, ist ein Bruch, in dem ein *α* anzunehmen nicht angeht. Das *α* von *ἐόντα* setzte der Steinmetz hinter diesen Bruch und dann *ἀζάμιοι*: also ΕΟΝΤ//ΑΑΞΑ°. — 15 *Ἀντίοχος* statt *Ἀντίφιλος*.

Zeit. Priesterschaft V (156—151). S. No. 1900.

1904 *W.-F.* 239. C. v. B.

[Ἄ]ρχοντος Ἥρυος τοῦ Πλείστωνος μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο | Δρομοκλείδας Ἁγίωνος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον παιδάριον ὧι ὄνομα Σωσᾶς, | [κ]αθὼς ἐπίστευσε τὰν ὠνὰν τῶι θεῶι Σωσᾶς, τιμᾶς ἀργυρίου μνᾶς κ-αὶ στατήρων πέντε, | ἐφ' ὧιτε ἐλεύθερον εἶμεν Σωσᾶν τὸμ πάντα βίον, ποιοῦντα ὅ κα θέλη, καὶ τὰν τι|μὰν ἔχει πᾶσαν. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Εὐάγγελος Πάτρωνος. πα|ραμεινάτω δὲ Σωσᾶς παρὰ Ἀρτεμίδωρον μανθάνων τὰν τέχναν τὰν γναφικὰν τὸν χρό|νον τὸν ἐν τᾶι συγγραφᾶι γεγραμμένον, ὃν καὶ παρισχέτω Σωσᾶς Δρομοκλείδαν ἀβλαβῆ ὑπὸ | τᾶς συγγραφᾶς. ἐπεὶ δέ κα μάθη Σωσᾶς τὰν τέχναν τὰν γναφικὰν καὶ ἀπέλθη παρὰ Ἀρτεμι|δώρου, ἐργαζέσθω τὰ ἔργα τᾶι γναφικᾶι τέχναι τὰ ἐν τὰν Δρομοκλείδα οἰκίαν πάντα· εἰ δέ τι ‖ μὴ ποιήσαι Σωσᾶς τῶν γεγραμμένων, κύριος ἔστω Δρομοκλείδας ἐπιτιμέων Σωσᾶι τρό|πωι ὧι θέλοι. μάρτυροι· ὁ ἱερεὺς Ἀνδρόνικος καὶ οἱ ἄρχοντες Ξενέας, Ἀριστόβουλος, ἰδιῶ|ται Τιμόκριτος.

W.-F. Z. 1 ἄρχοντος. — 3 καθώς. — Zu dem καὶ vor στατήρων (Z. 3) ist zu bemerken, dass der Steinmetz nach κ einen ungeeigneten Zeichenplatz unbenutzt liess und danach α und ι einschlug. — Der Passus von Z. 6 ab ist eigenartig: Σωσᾶς soll bei Ἀρτεμίδωρος das Tuchscherergewerbe erlernen und diese Zeit über seinen Freilasser um nichts von dem verkürzen, was die Originalurkunde ausmacht. Hat er ausgelernt, so hat er dieses Gewerbe zu des Δρομοκλείδας Nutzen zu treiben. — Bemerkenswert ist Z. 7 der Gebrauch von ἀπό: wenn man von den Bestimmungen der Originalurkunde aus die Sache ansieht u. beurteilt; παρίσχω mit doppeltem acc. — Z. 11 ἰδιῶται Plural, obwohl nur ein Name folgt, wie 1791, 12 οἱ ἄρχοντες, 1880, 12 οἱ ἱερεῖς. — Z. 12 schliesst schon mit Τιμόκριτος, Z. 13 und 14 sind unbenutzt gelassen.

Zeit. Priesterschaft V (etwa 156—151); vgl. 1905, 9.

1905 *W.-F.* 240. C. v. B.

Ἄρχοντος Ἥρυος μηνὸς Ἐνδυσποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἄθαμβος Ἀγάθωνο[ς] | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἀμβροσία τὸ γένος Σύρα, τιμᾶς ἀρ|γυρίου μνᾶν δύο, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Ἀμβροσία τῶι θεῶι τὰν | ὠνάν, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ⟨πο⟩ πάντων τὸν πάντα βίον. βεβαι‖ωτὴρ κατὰ τὸν νόμον· Ἄθαμβος Ἀβρομάχου. εἰ δέ τίς κα ἅπτηται Ἀμβροσίας ἐπὶ κατα|δουλισσμῶι, βέβαιον παρεχέτω

Druck der Univ.-Buchdruckerei von E. A. Huth in Göttingen.

Sammlung

der

Griechischen Dialekt-Inschriften

von

J. Baunack, F. Bechtel, A. Bezzenberger, F. Blass, H. Collitz, W. Deecke, A. Fick, O. Hoffmann, R. Meister, P. Müllensiefen, W. Prellwitz.

Herausgegeben

von

Dr. H. Collitz.

Zweiter Band. IV. Heft.

Die delphischen Inschriften.

(2. Teil: No. 1906–2087.)

Bearbeitet

von

Johannes Baunack.



Göttingen,

Verlag von Vandenhoeck & Ruprecht.

1892.

[redacted] **Der 3. (Schluss-)Teil der delphischen Inschriften wird 1893 erscheinen.**

Verbesserungen und Nachträge zu den delphischen Inschriften.

1687, 5. Möglich *Διόδωρος Ἡράκωνος* (1718, 6; 1943, 7) und *Δ. Μνασιθέου* (1787, 11; 1828, 7; 1857, 9/10; 1963, 2; 1992, 4). Jener ist an den angeführten Stellen als Bürge bezeugt. — **1692**, 3. Ob hier *Ἀριστὼ Ἥρυος* aus 1697, 3 hilft? — **1701**, 12. Es giebt 1796, 1 einen *Θεύφιλος Εὐάρχου*. — **1709**, 2. Betone *Ἀναξίς*. Vgl. 1936, 3. — **1729**, 20 lieber *Πραό⟨υ⟩χου*. Vgl. Verf. Stud. I 233 Anm. 1. Die Form *Πράοχος* begegnet sehr oft, 1761, 8/9; 1791, 12 u. s. w. — **1730**. Zeit. Genauer: Juli—Januar 173. — **1743**, 14. Möglich, dass der Steinmetz *Ἀθανίων Ἀρίστ[ωνος]* — vgl. 1723, 21/22 — irrtümlich aus der tieferen Zeile seiner Vorlage, die die *ἰδιῶται* enthielt, heraufnahm, dass überhaupt nur 2 Archonten zeugten (vgl. die Bemerkung zu Z. 14). — **1747**, 1 lies *Ὑαμπολί(τ)ου*, Z. 10 *Ἀρισ[τογέν]ης Νικέα* (vgl. 1700, 2; 1793, 19/20). — **1757**, 1. Betone *Ἀγρεστυῶνος*. — **1774**, 1. Die Schreibung *Αἰγίρα, Αἰγιράτας* ist die für die ältere Zeit beglaubigte, jünger ist *Αἰγείρα*. S. Wilhelm, Arch. Mitteil. 1892 S. 112, Z. 34 *[Ἀγ]αθάρχωι Δημοκρίτου Ἀχαιῶι ἐξ Αἰγίρας* u. S. 119 Anm. 10; CIGS 411, 2 *Αἰγειράτης*; 540, 2 *Αἰγιράτη[ς]*. — **1781**, 6. Nach meinen Bemerkungen über die Lücke hilft *Νίκων Θεοξένου* (1803, 1; 1808, 24) nicht. — **1787**, 9. Die Form *Φανοτεύς* vermutet man auch CIGS 1730, 9 *[Φα]νοτεῖα*, dagegen steht *Φανατεύς* 3376, 3, *Φανατεῖς* 3376, 17. — **1801**. Dazu vgl. 1751, 4 ff. — **1806**, 11 ist das betonte *ά* von *Ἀμφιστράτου* in meinem Abzuge ganz undeutlich. — **1815**, 14/15 vgl. mit 1884, 20. — **1833**, 3. Betone *Νικοπόλιος*. Neben der Flexion *-ίς, -ίδος, -ίδι, -ίδα* (z. B. vollständig in 1767 *Μελισσίς*) und *-ίς, -ίδος, -ίδι, -ίν* (z. B. vollständig *Καλλίς* in 1755) existiert bei den femininalen Eigennamen noch die der Maskulina auf *-ις, -ιος, -ει, -ιν*, der ich auch gleichen Accent gebe. Vgl: 2031. — **1863**. Zur Schreibung *Βοιαθοίου* (Z. 2) vgl. *Βοιηδρομιῶνος* Ditt. 143, 3; *βοιηθήσω* 171, 68; 77. — **1917**, 11. Vgl. die Bemerkung zu 2042, 2. Nach der Zusammensetzung des Vatersnamens lässt sich auf *[Ἀνδρ]όλαος* schliessen, was genau in die Lücke passen würde. — **1936**. Ueber das im Citat aus *W.-F.* (S. 310) erwähnte Mauerloch s. Pomtow Beitr. 31. — **1949**, 16. Vgl. 1869, 3, wo über *Θωπίας* eine Bemerkung. — **1995**, 3. Der Name *Κοσσύφα* auch 2091, 7.

Johannes Baunack.

ὁ βεβαιωτὴρ Ἄθαμβος τῶι θεῶι τὰν ὠνάν. ὁμοίως δὲ | καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντω συλέοντες ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι | ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος | Ἀνδρόνικος, Ἀμύντας καὶ τῶν ἀρχόντων Ἀθανίων, ἰδιῶται Ἡρακλείδας, Μένης, Γλαῦ‖[κ]ο[ς] Ξένωνος, Εὐθύδαμος, Τίμων Ξενία.

W.-F. Z. 1 Ἀγάθωνος. — 3 fehlt Ἀμβροσία nach ἐπίστευσε. — 4 ohne Angabe der Dittographie. — 6 Anfang δουλισμῶι, S. 309 die Notiz über °ΣΣ°. — 9/10 Γλαῦ κος. — Z. 2 erwarten wir Σύραν, aber solche Attraktionen finden sich, vgl. 1864, 2; 1938, 6; 1945, 4.

Zeit. Priesterschaft V (etwa 156—151).

1906 *W.-F.* 241. C. v. B.

[Ἄ]ρ[χ]οντος ἐν Δελφοῖς Ἀθάμβου τοῦ Ἁβρομάχου μηνὸς Ποιτροπίου, ἀπέδοτο Πραξίας Εὐδόκο[υ τ]ῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Μηνᾶς τὸ γένος Βειθυνόν, [τ]ιμᾶ[ς] ἀργυρίου μνᾶν ἕξ, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Μηνᾶς | τὰν ὠνὰν τῶι θεῶι, ἐφ᾽ ὧιτε ἐλεύθερον εἶμεν Μηνᾶν καὶ ἀνέφαπτον ἀπὸ πάν‖των τὸν πάντα χρόνον, ποιοῦντα ὅ κα θέλῃ καὶ ἀποτρέχοντα οἷς κα θέλῃ. βεβαιω|τὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Ἀστόξενος Διονυσίου. εἰ δέ τις ἅπτοιτο | [Μη]νᾶ ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε | [ἀπ]οδόμενος καὶ ὁ βεβαιωτήρ. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες

W.-F. Z. 1 ἄρχοντος. — 1/2 Εὐ|δόκου τῶι. — 3 τιμᾶς. — 8 ἀποδόμενος. — S. 309 bemerken sie: Inscription inachevée dans l'original. Hinter den 8 Zeilen ist noch viel Platz auf dem Steine. Einige Linien sind schon vorgezogen.

Zeit. Priesterschaft V (etwa 156—151); vgl. 1691, 1709 u. a.

1907 *W.-F.* 242. C. v. B.

Στραταγέοντος Χαλέπο[υ μη]νὸς Εὐθυαίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ὑβρία μηνὸς Ἀμαλίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Μένα[ρχ]ος Μενάνδρου Πλυγονεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα | δύο οἷς ὀνόματα Ξένων, Πειθόλαος, ἀργυρίου μνᾶν ὀκτώ. βεβαιωτῆρες κατὰ τὸν νόμον καὶ τὰν | συμβολάν· Πολύκλειτος Πεισίλα, Ἁγίων Καλλικράτεος Δελφοί. παραμενόντω δὲ Ξένων καὶ Πειθό‖λαος παρὰ Μέναρχον ἄχρι κα ζώηι Μέναρχος. ἐπεὶ δέ κά τι πάθη Μέναρχος, τοῦ θεοῦ ἔστων Ξένων | καὶ Πειθόλαος κυριεύοντες αὐτοσαυτῶν ἐλεύθεροι ὄντες καὶ ἀνέφαπτοι τὸν πάντα χρόνον, | καθὼς ἐπίστευσαν τῶι θεῶι τὰν ὠνάν. βέβαιον δὲ παρεχόντω τὰν ὠνὰν ὅ τε ἀποδόμενος | Μέναρχος καὶ οἱ βεβαιωτῆρες τῶι θεῶι· εἰ δέ κα μὴ παρέχωντι, πράκτιμοι ἐόντω τῶι θεῶι καὶ Ξένωνι | καὶ Πειθολάωι καὶ τῶι ὑπὲρ τὸν θεὸν θέλοντι πράσσειν αὐτοῦ καὶ τοῦ ἡμιολίου μνᾶν δεκαδύο. ‖ οἱ δὲ πράσσοντες ἀζάμιοι ἐόντω καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. εἰ δέ τίς κα ἅπτηται | Ξένωνος ἢ Πειθολάου τελευτάσαντος Μενάρχου, κύριοι ἔστων οἱ συλέοντες ὡς ἐλευθέρους | ὄντας καὶ τοῦ θεοῦ ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς | Εὐκλῆς, Ξένων καὶ οἱ προστάται Μαντίας, Αἰακίδας καὶ ὁ νεωκόρος Κλέων Ὀρέστα, Ἄθαμβος, | Ταραντῖνος, Πράοχος, Βαβύλος Λυσιδάμου, Δίων Κλέωνος, Πρώταρχος, Εὐκλείδας, Δαμοχάρης, ‖ Φιλαίτωλος, Βούλων Ξένωνος Δελφοί, Πυθέας, Δαμόξενος, Μείδων, Αἴγιμος Πλυγονεῖς, Νέαρχος | Ποταναῖος, Εὔτυχος Φαρσάλιος. - - ταῦτα δὲ ἐγένετο ἀνάμεσον τοῦ ναοῦ καὶ τοῦ βωμοῦ. | ὀμοσάτω δὲ Μέναρχος ἐναντίον τῶν ἱερέων τὸν νόμιμον ὅρκον παρὰ τὸν Ἀπόλλω μήτε αὐτὸ-ς | ἀδικησεῖν Ξένωνα μηδὲ Πειθόλαον ἇς κα ζῆ μηδὲ ἄλλωι ἐπιτρεψεῖν· εἰ δὲ ἢ αὐτὸς ἀδικέοι ἢ ἄλλωι | ἐπιτρέψαι, ἔνοχος ἔστω Μέναρχος τῶι τε ἐφιορκεῖν καὶ παραβαίνειν τὰ συγκείμενα, καὶ ὁμοίως ‖ κύριοι ἐόντω οἵ τε βεβαιωτῆρες καὶ ἄλλος ὁ θέλων ἀποκαθιστάοντες Ξένωνα καὶ Πειθόλαον ἐν τὸ | ἱερὸν ἀζάμιοι καὶ ἀνυπόδικοι ὄντες πάσας δίκας καὶ ζαμίας. τὸν αὐτὸν δὲ ὅρκον ὀμοσάντω Ξένων | καὶ Πειθόλαος Μενάρχωι παραμενεῖν παρὰ Μέναρχον ἔντε κα ζώη μετὰ πάσας εὐνοίας δουλεύοντες | καὶ ποιέοντες τὸ ποτιτασσόμενον. εἰ δέ τί κα ἐπικαλῆ Μέναρχος Ξένωνι ἢ Πειθολάωι ἢ Ξένων ἢ Πει|θόλαος ἀντιλέγωντι ποτὶ Μέναρχον, κριθέντω ἐν τοῖς ἱερέοις τοῦ Ἀπόλλωνος καὶ Κλέωνι Δίω[ν]ος, ‖ καὶ ὅ τι κα οὗτοι κρίνωντι, κύριον ἔστω. εἰ δέ τί κα πάθη Κλέων,

ἄλλον ἀνθελέσθω Μέναρχος Δελφὸν | ὅν κα αὐτὸς θέλῃ. ὤμοσαν ποτὶ τῶι βω⟨ι⟩μῶι τᾶι αὐτᾶι ἁμέραι ἔναντι τῶν ἱερέων καὶ τῶμ | μαρτύρων.

W.-F. Z. 1 *Χαλέπου μηνός.* — 2 *Μέναρχος.* — 15 *Μειδίων* statt *Μείδων*, am Ende *Νέαρχος* (ihr *Νέασχος* ist Druckfehler, s. S. 314). — 16 geben sie nach *Φαρσάλιος* —, also einen Querstrich, der die Lücke andeutet, die der Steinmetz absichtlich liess. Es beginnt ein neuer Passus. — 17 *αὐτὸν* statt des erwarteten nom. Zwischen °*το* und *ς* ist ein Zeichenplatz unbenutzt geblieben. — 18 *ἀδικήσειν*, ebenso *ἐπιτρέψειν* und *παραμένειν* (Z. 22). — 24 *Δίωνος.* — 25 *εἰ δέ κα*, also *τὶ* weggelassen. — 26 *βωμῶι*, ohne das falsche Jota, darauf *καὶ αὐτᾶι ἁμέραι* statt *τᾶι αὐτᾶι ἁ.* — Z. 27 blieb nach dem einen Worte, das sie bildet, frei, ausserdem noch eine volle Zeile darunter. — Zum Passus in Z. 8/9 vgl. 2006, 8; 2049, 11; 2080, 9; zu *προστάται* Z. 13 vgl. 1920, 15. — Das Ethnikon *Ποταναῖος* steht auch 2058, 7. — Dieselbe Ortsbestimmung wie Z. 16 auch 2010, 13; 2011, 6. — Die Formen *ἐναντίον* und *ἔναντι* (Z. 17 und 26) wechseln mit einander ab; vgl. gortynisch *ἀντὶ μαιτύρōν* (IvG. 86). — Zu Z. 17. Man leistet den Eid, indem man an's Götterbild herantritt, vgl. gortynisch *δικάκσαι τὰν γυναῖκ' ἀπομόσαι τὰν Ἄρτεμιν πὰρ Ἀμυκλαῖον πὰρ τὰν Τοκσίαν.* — Z. 19 beachtenswert *ἐφιορκεῖν* wie *ἐφιορκοῦντι* auf der Mysterieninschrift von Andania (Z. 6); Ditt. 171, 69; 78. — *ἀποκαθιστάοντες* (Z. 20) hat Uebergang in die thematische Flexion; etwas ähnliches bieten Formen wie *τετελευτακούσας* 1855, 13. — Zum Passus Z. 23 ff. vgl. 1694, 9 ff.

Zeit. Priesterschaft I (s. 2049): — 198 vor Chr.

2073 *W.-F.* 408. C. v. B.

Στραταγέοντος Φαινέα μηνὸς Δίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ὀρθαίου μηνὸς Ποιτροπίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Ἀξίοχος Ὑπαταῖος Στρατυλλὶν τὰν ἰδίαν θεράπαιναν τῶι Ἀπόλλωνι | τῶι Πυθίωι, ἀργυρίου δύο μνᾶν, καθὼς ἐπίστευσε Στρατυλλὶς τῶι θεῶι τὰν ὠνάν, | ἐφ' ὧι αὐτὰν ἐλευθέραν εἶμεν, ποιέουσαν ὅ κα θέλῃ. βεβαιωτῆρες κατὰ τὸν νόμον || καὶ τὰν συμβολάν· Ἀρχέλαος Ἀμφισσεύς, Σώπατρος, Παντέλης Ὑπαταῖοι, Ο⟨ο⟩ἰνόβιος | Καλλισταῖος. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ξένων, Ἄθαμβος καὶ ἰδιῶται Ταραντῖνος, | Ἐμμενίδας, Ὀρέστας, Πολύκλειτος, Νικαγόρας Δελφοί, Μελάνθιος Ὑπαταῖος.

Die Dittographie in Z. 5 suchte der Steinmetz selbst zu tilgen. — Die Z. 7 ist fast bis zu Ende benutzt. In der nächsten Zeile steht Nr. 2074. — Erhaltung tadellos, verletzt ist nur das *τ* in *Παντέλης*.

Zeit. Priesterschaft II: December/Januar 198/197.

2074 *W.-F.* 409. C. v. B.

Στραταγέοντος Φαινέα μηνὸς Εὐθυαίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ὀρθαίου μηνὸς Ἀμαλίου, ἐπὶ τοῖσδε | ἀπέδοτο Τιμόλοχος Βοαῖος τὰς ἰδίας θεραπαίνας αἷς ὀνόματα Σωκρατὶς καὶ τὰν θυγατέρα Σωκρατίδος | Καλλίκλειαν τῶι Ἀπόλλωνι τῶι Πυθίωι, ἀργυρίου μνᾶν πέντε· τὰν τιμὰν ἔχει πᾶσαν· καθὼς ἐπίσ|τευσε Σωκρατὶς καὶ ἁ θυγάτηρ αὐτᾶς Καλλίκλεια τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὰς ἐλευθέρας || εἶμεν, ποιούσας ὅ κα θέλωντι καὶ εἶ κα θέλωντι. βεβαιωτὴρ κατὰ τὸν νόμον | καὶ τὰν συμβολάν· Τιμόλοχος Φειδολάου Βοαῖος. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλ|λωνος τοῦ Πυθίου Ἄθαμβος, Ξένων καὶ τοὶ ἄρχοντες Πάτρων, Ὀρέστας, Ἐπικράτης, | ἰδιῶται Κλεώνυμος, Ἐχέφυλος Ἁγίωνος, Πρώταρχος Δελφοί. ἁ ὠνὰ παρὰ Ἄθαμβον | Δελφόν, Κλεώνυμον Ἐριναῖον.

Ausser je 3 Zeichen in Z. 1 und 3, je 2 in Z. 2 und 4 ist alles tadellos erhalten und richtig von *W.-F.* wiedergegeben. — Z. 9 bleibt nach den 3 Namen unbenutzt, und zwischen den Nummern 2074 und 2075 ist eine Zeile Zwischenraum. — Z. 2 beachtenswert das Anakoluth. — Ueber *Βοαῖος* Z. 2 und 6 vgl. Ahrens II, 566. — Z. 8 bezieht sich *Δελφοί* nur auf *Ἐχέφυλος* und *Πρώταρχος*; nach *Κλεώνυμος* wäre *Ἐριναῖος* zu erwarten. Vgl. Z. 9.

Zeit. Priesterschaft II: Januar/Februar 197.

2075 *W.-F.* 410. C. v. B.

Στραταγέοντος Δικαιάρχου μηνὸς Πανάμου, ἐν Δελφοῖς δὲ ἄρχοντος Πειθαγόρα μηνὸς Βουκατίου | Πυθίοις, ἐπὶ τοῖσδε ἀπέδοντο Φιλλέας, Πάτρων Οἰνοαῖοι τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον | ὧι ὄνομα Ζωπυρίων τὸ γένος Λάκωνα, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καθὼς ἐπίστευσε Ζωπυρίων | τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὸν ἐλεύθερον εἶμεν, ποιέοντα ὅ κα θέλῃ. βεβαιωτῆρες κατὰ τὸν νόμον καὶ τὰν || συμβολάν· Κρινόλαος, Λύκος Οἰνοαῖοι. μάρτυροι· Ξένων, Ἄθαμβος οἱ ἱερεῖς, Καλλείδας, Ἀρχέλαος, Δεξικράτης, | Νικίας Δελφοί, Σέλευκος Πλυγονεύς, Λύκος, Φάλανθος, Πλείσταινος Καλλιπολῖται, Θηβαγόρας | Ἀμφισσεύς.

Ueber *Πυθίοις* Z. 2 vgl. A. Mommsen, Delphika S. 155. — Der Name *Φιλλ-έας* begegnet auch 1813, 3; vgl. 1821 Anm. — Zu Z. 4. *θεῶι* sieht wie ΘΕΩΦ aus: das Jota ist in ein irrtümliches Omikron hineingeschlagen. — In Z. 4 schlug der Steinmetz erst KATON ein, setzte dann aber TA über T. Vgl. 1806, 18; 1960, 5. — Der *Λύκος* in Z. 6 ist wohl der Bürge. — *W.-F.* geben nur 6 Zeilen und lassen Z. 7 *Ἀμφισσεύς* weg. Derselbe Mann ist 1808, 12; 16 Bürge. Diese Zeile 7 ist weiter nicht benutzt; es folgt eine freie vorgezogene Zeilenlinie.

Zeit. Priesterschaft II: August/September 194.

2076 *W.-F.* 411. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν Θόα Τριχονέος τὸ τρίτον μηνὸς Ἱπποδρομί|ου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ἀνδρονίκου μηνὸς Ἠλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀντιφά|νης Δαμέα Μυανεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Παρθένα, | τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Παρθένα τῶι θεῶι τὰν ὠνάν, ‖ ἐφ' ὧιτε ἐλευθέραν εἶμεν αὐτὰν καὶ ἀνέφαπτον ἀπὸ πάντων. βεβαιωτὴρ κατὸν | νόμον καὶ τὰν συμβολάν· Πολύων Σίμωνος Δελφός. μάρτυρε⟨ι⟩ς· τῶν ἀρχόντων | Δαμένης καὶ ὁ προστάτας Δαμοχάρης καὶ ἰδιῶται Ἀνδρόνικος Φριχίδα, Αἰακίδας | Φιλαιτώλου, Χαρίξενος Ἀμυνέα, Ζώπυρος Δελφοί, Καλλίξενος Εὐαρχίδα, Πασέας | Δάμωνος Μυανεῖς.

W.-F. Z. 5 *κα[τὰ] τόν*, Stein KATON, wie sie S. 312 auch anmerken. — Z. 6 scheinbar *μαρτύρεις*, was *W.-F.* in den „Notes" p. 312 geradezu geben; ich halte den Strich für Verletzung des Steines. Möglich auch, dass der Steinmetz an das auf dieses Wort so oft folgende, an *ἱερεῖς* dachte. — Z. 9 ist nicht bis zu Ende benutzt. In der nächsten Zeile steht No. 2077. — Sämtliche Zeichen sind unbeschädigt geblieben.

Zeit. Priesterschaft II: Juni/Juli 180.

2077 *W.-F.* 412. C. v. B.

Στραταγέοντος τῶμ Φωκέων Εὐαινέτου Ἀμβρυσσίου μη|νὸς Ἀμαλίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Μελισσίωνος μηνὸς Δαι|δαφορίου, ἐπὶ τοῖσδε ἀπέδοτο Μέλισσα Λιλαῒς σῶμα γυναικεῖον ἇι ὄνο|μα Ἀριστὼ οἰκογενὲς τῶι Ἀπόλλωνι τῶι Πυθίωι, τιμᾶς ἀργυρί‖ου μνᾶν δύο, καθὼς ἐπίσ⟨ι⟩τευσε Ἀριστὼ τῶ θεῶ τὰν ὠνάν, ἐφ' ὧτε | ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτον οὖσαν ποεῖν ὅ κα θέλῃ. βεβαιωτῆρες κατὰ τὸν νόμον καὶ τὸ σύμβολον· Δάμων [Τε]ιθρώνιος, Διογένης Δελφός. | μάρτυροι· οἱ ἱερεῖς Ἄθαμβος, Ἀμύντας, ἰδιῶται Καλλίκων, | Ἵππων, Ἄθαμβος, Καλλίερος Δελφοί, Κᾶφις, Ξενοφῶν ‖ Λιλαεῖς. ἁ ὠνὰ πὰρ Ἀνδρόνικον τῶ θεῶι.

W.-F. merken S. 312 zu Z. 1 an: „L'*Y* de *Εὐαινέτου* a été changé en un *Ψ*"; mir scheint der Stein hier ausgesprungen zu sein. — 5 *ἐπίστευσε*. — 7 *Τειθρώνιος*. — 10 *παρὰ Ἀνδρόνικον* vgl. *πὰρ* 2068, 13 und 14. Oder sollen wir *παρ' Ἀνδρόνικον* schreiben (vgl. 1984, 6)? — 10 Schluss *τῶ θεῶ*. Sieht wie *θεῶι* aus; vielleicht auch nur ein Riss nach *ω*. Die Form *θεῶ* stimmt zu den Dativen in Z. 5; vgl. aber Z. 4. Wegen der Verbindung dieses Dativs mit *ἁ ὠνά* vgl. 1804, 4. — Z. 10 ist nicht bis zu Ende benutzt; es folgt ohne Zwischenraum 2078. *Λιλαεῖς* beginnt

nicht die Zeile, sondern davor steht das Alphabet α bis π. Der Steinmetz hatte also die wenigen Worte von Z. 10 in die Mitte unter die übrigen Zeilen gesetzt. Ein andrer füllte den freigelassenen Raum zu Anfang mit der genannten Spielerei aus. Vgl. 1753, 11; 1755, 15; 1756, 9; 1775, 9. — Zu Z. 9. *W.-F.* *Κάφις*. Lieber *Κᾶφις*. Stammverwandt ist gewiss der Name *Καφώ* 2064, 2. — Zum Constructionswechsel in Z. 6 vgl. 1697, 5/6; 1824, 4/5.

Zeit. Priesterschaft III: November/December 177.

2078 *W.-F.* 413. C. v. B.

Ἄρχοντος Μελισσίωνος μηνὸς Θευξενίου, ἐπὶ τοῖσδε ἀπέδοτο Κρίτων Κράτωνος τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σώματα γυναικεῖα τρία αἷς ὀνόματα Σωσίχα, Κλέα, Κρατώ, τιμᾶς ἀργυρίου μνᾶν δέκα, κα|θὼς ἐπίστευσαν τὰν ὠνὰν τῶι θεῶι, ὥστε αὐτὰς εἶμεν ἐλευθέρας καὶ ἀνεφάπτους τὸμ πάν|τα βίον ἀπὸ πάντων, ποιούσας ὅ κα θέλωντι αὐταὶ Σωσίχα, Κλέα, Κρατώ. βεβαιωτῆρες κατὰ ‖ τὸν νόμον τᾶς πόλιος· Ἀρχέλαος Πυθοφάνεος, Ὀρθαῖος Ἀτεισίδα. μάρτυρες· οἱ ἱερεῖς Ἄθαμβος, Ἀμύντας | καὶ τοὶ ἄρχοντες Πραξίας, Ἀνδρόνικος, Ἀριστίων καὶ ἰδιῶται Δαμοσθένης, Ἧρυς, Καλλίκων.

Z. 2 beginnt mit *τῶι*, *W.-F.* irrtümlich Z. 1/2 *Ἀπόλλωνι* [*τῶι*] | *Πυθίωι*. — 3 *τόν* statt *τόμ*. — 6 *Καλλίων* verlesen. Erst schlug der Steinmetz °ΛΚΩΝ ein, und dann drängte er noch Jota dazwischen. — Sämtliche Zeichen sind gut erhalten, ausgenommen das *ς* in *ἀνεφάπτους*. — Nach Z. 6 folgt ohne Zwischenraum No. 2079.

Zeit. Priesterschaft III: März/April 176.

2079 *W.-F.* 414. C. v. B.

Ἄρχοντος Μελισσίωνος μηνὸς Βυσίου, ἀπέδοτο Μυρτὶς Ἵππωνος Δελφὶς τῶι Ἀπόλ(λ)ωνι τῶι Πυθίωι σῶμα | γυναικεῖον ἆι ὄνομα Θευδότα, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Θευδότα τὰν ὠνὰν | τῶι θεῶι. παραμεινάτω δὲ Θευδότα παρὰ Μυρτίδα ἀνεγκλήτως ἕως κα αὐτὰ ζώῃ. βεβαιωτήρ· | Ἀριστείδας Ἵππωνος Δελφός· παρόντος καὶ τοῦ ἄρχοντος Πραξία. μάρτυρες· ὁ ἱερεὺς Ἄθαμβος· Καλλίκων, ‖ Ἀρισταγόρας, Κρίτων, Ἧρυς, Καλλικράτης.

W.-F. Z. 1 *Ἀπόλλωνι*, Stein °ΟΛΩ°, s. 1761, 4. Die Zeichen stehen übrigens in einer ausgeschlagenen Steinstelle. — Bei *W.-F.* fehlen die Anfänge von Z. 3 und 4. Diese stehen auf dem links anstossenden Steine, so für 3 *τῶι θε* (*W.-F.* [*τῶι θε*]*ῶι*) und für 4 *Ἀριστείδ* (*W.-F.* [. . . . .]*ας*). Letzterer ist wohl der Bruder der Freilasserin. — 3 Man kann zwischen *παραμεινάτω* und *παραμεινάτω⟨ι⟩* schwanken. Ob nach °*τω* Hasta oder Riss an-

zuerkennen ist, lässt sich nicht sagen. — 4 Zum Zusatz *παρόντος κτλ.* vgl. 1970, 5; 2009, 11. — 4 Ende *W.-F.* *Καλλίκω[ν]*, aber *ν*, das der Steinmetz nicht mehr in horizontaler Linie hinbrachte, schlug er über Ω ein. Mit diesem Namen beginnen die Privatzeugen. — Nach Z. 5, die nicht bis zu Ende ausgenutzt wird, ist ein kleiner behauener, aber unbenutzter Raum.

Zeit. Priesterschaft III: Februar/März 176.

2080 *W.-F.* 415. C. v. B.

Ἄρχοντος Ὀρθαίου τοῦ Μαντία μηνὸς Βυσίου, βουλευόντων | Κλεοδάμου, Λύσωνος, γραμματεύοντος Παρνασσίου, [ἐπὶ] τοῖσδε | ἀπέδοτο Ἐράτιον Ἡρακλείδα Δελφὶς Σωτὼ Δόρκωνο[ς τῶι] Ἀπόλλωνι | τῶι Πυθίωι, ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶσ[αν, κ]αθὼς ‖ ἐπίστευσε Σωτὼ τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν ἐλευθέραν [εἶ]μεν, | ποιέουσαν ὅ κα θέληι. βεβαιωτῆρες κατὰ τὸν νόμον· Ἀρίστων Πρα[ό]χου, | Δάμων Ἀνδρομένεος Δελφός. βέβαιον δὲ παρεχόντων τὰν ὠν[ὰν] | ἅ τε ἀποδομένα Ἐράτιον καὶ οἱ βεβαιωτῆρες· εἰ δὲ μὴ παρέχωντι, | πράκτιμοι ἔστων αὐτῶν καὶ τῶν ἡμιολίων. μάρτυροι· Ὀρθαῖος, Ἁγίων, ‖ Λύσων, Πολύκλειτος, Γλαῦκος Δελφοί. ἁ ὠνὰ παρὰ τοὺς ἄρχοντας | Κλεόδαμον, Λύσωνα.

Ueber die Lage des Polygonalblockes vgl. Pomtow, Beitr. 99.

Zu Z. 1 bemerken *W.-F.* S. 312: Dans la partie supérieure de cette inscription, à gauche (vielmehr à droite!), la fin des lignes manque. Elle était sans doute gravée sur la pierre voisine, qui a disparu. Sie stehen ja aber auf dem anstossenden Blocke. *W.-F.* Z. 1 *βουλευ[όντων ....]|*; nach dem Particip fehlt, wie der Zusammenhang zeigen musste, nichts. — 2 *Παρνασσίου ....|*. — 3 *Δόρκωνο[ς ....]|*. — 4 *πᾶσ[αν, καθὼς]*. — 5 *ἐλευθέραν [εἶμεν]*. — 6 *Πρα[...]|*. — Zum Passus in Z. 9 *πράκτιμοι κτλ.* vgl. 2006, 8; 2049, 11; 2072, 9. In den Parallelen steht der Singular: *αὐτοῦ καὶ τοῦ ἡμιολίου*, und das Ergebnis der Addition ist immer erklärender Zusatz. — Unter den Zeugen wird ein *Λύσων* genannt. Es ist wohl der Archont (vgl. Z. 2). In dem ersten haben wir wohl den *ἀρχ. ἐπων.* zu suchen (vgl. 2045, 5).

Zeit. Priesterschaft II: Februar/März 195.

2081 *W.-F.* 416. C. v. B.

Στραταγέοντος Ἀλεξάνδρου Καλυδωνίου τὸ δεύτερον | μηνὸς Πανάμου, ἐν δὲ Δελφοῖς ἄρχοντος Διοδώρου μηνὸς Βου|κατίου, ἀπέδοτο Δάμων Ἀμφισσεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα γυναικεῖον ἇι ὄνομα Σωκρίτα, ἀργυρίου μνᾶν πέντε, ‖ καθὼς ἐπίστευσε Σωκρίτα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν ἐλευθέραν εἶμεν, ποέουσαν ὅ κα θέλη. βεβαιωτῆρες ἐπὶ τούτοις κατὰ τὸν | νόμον καὶ τὰν συμβολάν· Δαμόξενος Δάμωνος,

Εὔδικος, Κλέανδρος | Χαριξένου Ἀμφισσεῖς. μάρτυροι· ὁ ἱερεὺς Ἄθαμβος καὶ ἰδιῶται Πεισίστρατος, Ἀμεινίας, | Ἀριστόμαχος, Εὐρύμαχος, Μένων, Εὐκλείδας, Νικαγόρας Δελφοί, Μενακλῆς, Καλλιφά|νης, Παυσανίας, Θεαγένης, Εὐαίνετος Ἀμφισσεῖς, Ἀλέξων, Πολέμαρχος Πλυ|γονεῖς.

In Z. 1 schlug der Steinmetz ΣΤΡΑΑΓ° ein und trug das vergessene T unter dem 2. A nach. Das erste A ist jetzt lädiert. — *W.-F.* Z. 2 *ἐν Δελφοῖς δὲ ἄρχοντος*. — Den Zusatz *ἐπὶ τούτοις* (Z. 6) liest man auch 1994, 5. — Von Z. 8 ab wendete der Steinmetz kleinere, engere Zeichen an. — 9 steht wirklich *Μενακλῆς* mit *α*. Ueber solche Beispiele vgl. Vf. Stud. I, 62. — Nach |*γονεῖς* in Z. 11 blieb der Raum frei, dann ebenso noch eine volle Zeile. — Unter den Zeugen ist ein *Μένων*, vielleicht der Archont.

Zeit. Priesterschaft II: August/September 195.

2082 *W.-F.* 417. C. v. B.

Στραταγέοντος Θόα τὸ δεύτερον μηνὸς Ἀθαναίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Πειθαγόρα | μηνὸς Ἡραίου, ἀπέδοτο Σωτίων Ἀμφισσεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἡδεῖα τὸ γένος Μακέταν ἐξ Ὠρωποῦ, τιμᾶς ἀργυρίου στατήρων ἐνενήκοντα | τριῶν ἐννέ' ὀβολῶν. βεβαιωτὴ[ρ κ]ατὰ τὸν νόμον· Λαμπρίας Ἀλεξομενοῦ Ἀμφισσεύς. παραμει|νάτω δὲ Ἡδεῖα παρὰ Σωτίωνα ἕως κα ζῆι Σωτίων. ἐπεὶ δέ κα δι[α]λίπηι Σωτίων, ἱερὰ ἔστω | Ἡδεῖα τοῦ Ἀπόλλωνος καὶ ἀνέφαπτος· εἰ δὲ μή, ὁ παρατυχὼν κύριος ἔστω ἀφαιρείμενος | ὡς ἱερὰν οὖσαν Ἡδεῖαν. μάρτυρες· Βαβύλος· Σώτιμος, Ἀριστόμαχος, Διόδωρ[ο]ς, | Μένων.

W.-F. Z. 4 *βεβαιωτὴρ κατὰ*, dann *Λάμπρας* statt *Λαμπρίας*. — 5 *διαλίπηι*; dieselbe Phrase übrigens 1920, 9. — 7 *Διόδωρος*. — *Μακέταν*, auch 1872, 3; 1925, 2; 1940, 7 femin., sonst *Μακέτις*. — Merkwürdig die Stellung der Zahlen in Z. 3/4. — Zu *ἀφαιρείμενος* vgl. *καλειμένας* 2061, 9. — Der erste Zeuge ist Archont. — Zu Z. 8. Nach dem einen Namen ist die Zeile freigelassen, und es folgen noch zwei freie Zeilen.

Zeit. Priesterschaft II: October/November 194.

2083 *W.-F.* 418. C. v. B.

Ἄρχοντος Νικοβούλου μηνὸς Βυσίου, ἐπὶ τοῖσδε ἀπέδοτο ⟨το⟩ Ἀγησίας | Πολυτίμου Ἀμβρύσσιος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα | Κάρπος, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Κάρπος τῶι θεῶι | τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων ‖ τὸμ

πάντα βίον, ποέων ὅ κα θέλῃ καὶ ἀποτρέχων οἷς κα θέλῃ. | βεβαιωτὴρ κατὰ τὸν ⟨μ⟩νόμον· Κ[λ]εόδαμος Κλέωνος | Δελφός. εἰ δέ τίς κα ἅπτηται Κάρπ[ου, β]έβαιον παρεχόντω | τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος [Ἀ]γη[σ]ίας καὶ ὁ βεβαιω|τὴρ Κλεόδαμος· εἰ δέ κα μὴ παρέχωντι, πράκτιμοι ἐόντω ‖ κατὰ τὸν νόμον. ὁμοίως δὲ κ[α]ὶ οἱ παρατυγχάνοντες | κύριοι ἐόντων συλέοντες ὡς ἐλεύθερον ὄντα ἀζάμιοι | ὄ[ν]τες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυ|[ρ]ες· τοὶ ἱερεῖς Ξένων, Ἄθαμβος καὶ τοὶ ἄρχοντες Εὐκρά|της, Δάμων, ἰδιῶται Νικόβουλος Λυσαγόρα, Ἀρχέλαος ‖ Πυθοφάνεος, Εὐχαρίδας Φαίνιος, Μαντίας Πολύωνος.

W.-F. Z. 1 *ἀπέδοτο*, ohne Angabe der Dittographie. — 6 *κατὰ τὸν νόμον*. Der Steinmetz wollte nach *τὸν* gleich *μον* einschlagen, corrigierte sich aber nach dem ersten falschen Zeichen. Oder ob Selbstcorrectur des Steinmetzen, also *τό⟨ν⟩μ νόμον*? — 8 *τὰν ὠνάν*. Das *α* von *τάν* ist auf ein halbes Ω darauf gesetzt, also wollte der Steinmetz statt *τάν* vermutlich nochmals den Anfang der Zeile, *τῶι*, einschlagen. — 8 Mitte *[Ἀγησ]ί[α]ς*, es ist aber davon mehr zu sehen. — 10 *κ[αὶ] οἱ*. — 12 *ὄντες*. — 12/13 *μάρτυ|ρες*.

Zeit. Priesterschaft II: Februar/März 185.

Wie Pomtow's instruktive Inschriftentafel der Polygonalmauer, auf die S. 184 schon verwiesen wurde, veranschaulicht, stehen die bisher unter Nr. 1684—2083 (= *W.-F.* 19—418) mitgeteilten Freilassungsurkunden ungefähr der Reihe nach auf Strecke CD, und zwar von West nach Ost gerechnet. Dagegen haben die von *W.-F.* mit 419—450 bezeichneten Nummern, deren Reihenfolge ich aus praktischen Gründen gleichfalls beibehalten habe (= 2084—2115), verschiedenen Standplatz gehabt:

a. Zu Strecke CD gehören noch Nr. 2084, 2085, 2102—2106.
b. Zu Strecke BC gehören Nr. 2086—2101, wohl auch 2107—2109; 2113 und 2114.
c. Ueberhaupt nicht zur Mauer gehören 2110—2112 und 2115.

Am Fusse jeder Nummer wird der besondere Standplatz nach Pomtows Plane angemerkt werden. Unediert liessen *W.-F.* auf Strecke CD im ganzen 24 Inschriften, die Pomtow bezeichnet mit: 100a (s. 1765 A); 166a; 229a; 239a und b; 273a und b; 275a und b; 278a und b; 281a, b, c, d, e; 297a und b; 308a; 310a und b; 332a; 439a; 441a.

2084 *W.-F.* 419. Nach einem Abklatsche controliert v. B.

Ἀγαϑᾶι τύχαι. | ἄρχοντος Εὐκράτεος μηνὸς Ἰλαίου, τάδε διέϑετο | Νίκων ὑπὲρ Δωρήματος, συνευδοχεούσας τᾶς ϑυγατέρος Καλλιβούλας. εἰ μέν κα ἐπιβιώση Νίκων ἔτη ‖ ὀκτὼ ἢ πλείονα, παραμείνασαν, εἴ τί κα πάϑηι Νίκων, | ἐλευϑέραν εἶμεν Δώρημα· εἰ δέ τί κα πρότερον πάϑη[ι] | Νίκων πρὸ τοῦ τὰ ὀκτὼ ἔτη διελϑεῖν, κατενέγκαι Δώρημα Καλλιβούλαι τοῦ καταλειπομένου χρόνου ἐν τ[ὰ] | ὀκτὼ ἔτη τοῦ ἐνιαυτοῦ ἑκάστου ἀργυρίου ἡμιμναῖον, ‖ οἰκέουσαν ἔξω καὶ κυριεύουσαν αὐτοσαυτᾶς· ἄρξει | τῶν ὀκτὼ ἐτέων μὴν Ἰλαῖος ὁ ἐπὶ Εὐκράτεος ἄρχοντος. | ἐπὶ τούτοις ἔδωκε Νίκων τὰν ὠνὰν Δωρήματος τῶι | Ἀπόλλωνι τῶι Πυϑίωι. βεβαιωτὴρ τούτων ἐπιτελεσθέντων· Ἀρχέλαος Θηβαγόρα Δελφός. μάρτυρες· ‖ ὁ ἱερε⟨ρε⟩ὺς Ἄϑαμβος καὶ τῶν ἀρχόντων Σωδαμί|δας, Κράτων, ἰδιῶται Μένων, Σωτύλος, Ἀγάϑων, | Εὐκλῆς, Ἄνδρων. ἁ ὠνὰ παρὰ Ἄϑαμβον τὸν ἱερῆ.

Diese Nummer steht zwischen 1959 und 1961. Unter der letzten Zeile von 1959 stehen über die ganze Zeilenlänge (0,40) in Spatien von 0,02–0,035 hinweg, Z. 1 von 2084 bildend, die Zeichen der 2 Worte: *ἀγαϑᾶι τύχαι*. Vgl. 1816, 1.

Auf dem Abklatsche erkenne ich Z. 6 Ende nicht Jota, Z. 8 nicht Alpha. — Z. 15 *ὁ ἱερεύς*, ohne Angabe der Dittographie. — Sonst ist alles tadellos erhalten und correct von *W.-F.* wiedergegeben. Der Abklatsch prägt fast jedes Zeichen völlig aus. — Die Fassung des ganzen Formulars weicht ab von dem sonst üblichen und hat in den Nummern von 1684 bis hierher keine Analogien. — Vgl. das Namenpaar *Νίκων* — *Δώρημα* in 1803. — *Δώρημα* hat *παραμονά* zu leisten, so lange *Νίκων* lebt. Das Mindeste sind 8 Jahre. Stirbt *Νίκων* vor Ablauf der 8 Jahre, so ist *Δώρημα* an seine Tochter zahlungspflichtig. *W.-F.* interpungieren Z. 5 *ἢ πλείονα παραμείνασαν, εἴ κτλ.* Aber *παραμείνασαν* gehört in den acc. c. inf. „Wenn N. noch 8 Jahr oder mehr lebt und sie bei ihm geblieben ist und er dann stirbt", so etc. — Der Infinitiv als Imperativ ist im Formular selten, 1837, 6. — Zur Form *κατενέγκαι* Z. 7 vgl. 1804; 1909. — Zu *ἐπὶ τούτοις* Z. 12 vgl. 1994, 5; 6; 2081, 6.

Zeit. Priesterschaft II: Juni/Juli 184.

2085 *W.-F.* 420. C. v. B.

Ἄρχοντος Ἀρχελάου τοῦ Δαμοσϑένεος μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Φίλων Τελεσάρχου τῶι Ἀπόλλωνι τῶι Πυϑίωι σῶμα γυναικεῖον | ἇι ὄνομα Ἱστιώ, τιμᾶς ἀργυρίου μνᾶν δύο. βεβαιωτὴρ κατὰ τὸν νόμον· Δρομοκλείδας Ἀγ(ί)ωνος Δελφός. παραμεινάτω δὲ Ἱστιὼ παρὰ Φίλωνα μέχρι κα ζώη Φίλων | ποέουσα πᾶν τὸ ποτιτασσόμενον τὸ δυνατόν· εἰ δέ

κα μὴ ποιῇ Ἑστιὼ ἢ μὴ παραμείνῃ, ἐξέστω Φίλωνι ὅ κα θέλῃ ποε(ῖ)ν. εἰ δέ τί κα πάθῃ Φίλων, ἐλευθέρα ἔστω | Ἱστιὼ καὶ ἀνέφαπτος οὖσα ἀπὸ πάντων, κυριεύουσα αὐσωτᾶς, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. μὴ ἐξέστω δὲ Ἑστιὼ ἀλλαχᾶι κατοικε(ῖ)ν, ἀλλ' ἢ ἐν Δελφο[ῖ]ς. || στεφανούτω δὲ κατὰ μῆνα νουμηνίαι καὶ ἑβδόμα τὴν Φίλωνος εἰκόνα δαφνίνωι στεφάνωι πλεκτῶι. μάρτυρες· τοὶ ἱ(ε)ρεῖς Ἄθανβος, Ἀμύντας καὶ οἱ ἄρχον|τες Βούλων, Μελισσίων, Ξένων, ἰδιῶται Μαντίας Κλεοδ[ά]μου, Ξενέας Βαβύλου, Καλλίερος Δελφοί.

Zwischen den Nummern 1866 und 1867 steht diese Freilassung. Sie ist identisch mit 1807, vgl. daselbst die Anmerkung. Wörtlich stimmen die beiden Nummern in folgenden 2 Stücken überein: 1) 1807, 1—9 = 2085, 1—3, bis zu *ἐξέστω Φίλωνι*, 2) 1807, 19 (*στεφανούτω κτλ.*) — 23 = 2085, 5 und 6. Die Phraseologie ist annähernd dieselbe in 1807, 10—14 = 2085, 3/4. 1807, 15—19 fehlt dagegen ganz in 2085, 2085 wiederum hat die Bestimmung *μὴ ἐξέστω — Δελφοῖς* (Z. 4 Ende) allein.

W.-F. Z. 1 *γυνα[ι]κε[ῖ]ον*, jedoch beide Jota sind sichtbar. Das erste vergass der Steinmetz anfänglich, setzte es aber dann über die Zeile zwischen A und K. — 2 *Ἀγ[ί]ωνος*. — 2 Ende. Das Jota von *μέχρι* ist nachgetragen. — 3 Anfang *ποιέουσα*, dann *ποε[ῖ]ν*. Der Stein hat beide Male in der ersten Silbe kein Jota, der dazwischen stehende Conjunktiv *ποιῇ* hat es. — 3 [*Ἱ*]*στιώ*, Stein *Ἑστιώ*. Es wechseln also die dialektische und die *Κοινή*-Form in demselben Dekrete, vgl. auch den Artikel *τήν* in Z. 5. Aehnlich wechselt *Δαματρία* und *Δημητρία* in 1748; 1849. — 3 Ende *Φίλων*. Auch hier ist Jota nachgetragen. — 3/4. Man kann schwanken zwischen *ἐλευθέρα ἔστω Ἱστιὼ καὶ ἀνέφαπτος* ⟨*οὖσα*⟩ *ἀ. π.* oder *ἐ. ἔστω Ἱστιὼ* ⟨*καὶ*⟩ *ἀ. οὖσα ἀ. π.* — 4 *αὐσαυτᾶς*, dann *δὲ Ἱστιὼ ἀλλαχᾶ κατοικε[ῖ]ν ἀλλ' ἢ ἐν Δελ[φοῖς]*. Der Stein hat aber *αὐσωτᾶς*, *Ἑστιώ* (st. dat.), *ἀλλαχᾶι*. Im Infinitiv fehlt wieder Jota (°OIKEN). Zur Phrase vgl. 1830, 23. — Zur Bestimmung von Z. 5 vgl. 1801, 5/6; 1775, 21. — 5 *ἑβδόμαι*, Stein nur °*μα* wie 1807, 20; dann *δαφνίνῳ στεφάνῳ πλεκτῷ*, hier hat der Stein dreimal Jota *προσγεγρ.* — 5 *τοὶ ἱ[ε]ρεῖς*, vgl. 1865, 6 (s. Anm.); 1866, 5. — 6 *Κλε[υδά]μου*.

Zeit. Priesterschaft III: December/Januar 175/174.

2086 *W.-F.* 421.

Ἄρχοντος Πυρρία μηνὸς Βυσίου, βουλευόντων | τὰν δευτέραν ἑξάμηνον Πολέμωνος τοῦ Πολε|μά(ρ)χου, Κλέωνος τοῦ Δαμοσθένεος, γραμματεύον|τος δὲ Γλαύκου τοῦ Γενναίου, ἐπὶ τοῖσδε ἀπέδοτο || Ξενοχάρης Πολυξένου, συνευδοκεόντων καὶ τῶν υἱῶν αὐτοῦ Πολυξένου καὶ Ἀρίστωνος, | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον παιδάριον ὧι ὄνομα Σωσι[κλῆ]ς, τιμᾶς ἀργυρίου μνᾶν δύο | στατήρ[ων] ἑπ[τὰ] δραχμᾶς, ἐφ' ὧιτε ἐλεύθερον εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα χρόνον, ποι|[έοντα

ὃ κα θέλῃ] καὶ ἀποτρέχοντα οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον [τᾶς] πόλι]ος· [Ἀ]ρίστων Στράτωνος. | [εἰ δέ τις ἐφάπτ]οιτο Σωσικλέος ἐπὶ καταδουλισμῶι, κύριος ἔστω ὁ παρατυχὼν συλέων Σωσικλῆ ὡς λύτρα ‖ [. . . . .]τος ἐκ πολεμίων ἀζάμιος ἐὼν καὶ ἀνυπόδικος πάσας [δίκας καὶ ζαμίας, καὶ ὁ] βεβαιωτὴ[ρ] | καὶ οἱ ἀποδόμενοι βέβαιον παρεχόντων τὰν ὠνὰν τῶι θεῶι. μάρτυροι· ὁ ἱερεὺς τοῦ [Ἀπόλλωνος] Πατρέας· Μικκύλος.

Die Inschrift steht auf Strecke BC mit 2087—2095 zusammen über den Nummern (75)—(80); mit ( ) bezeichnet Pomtow unedierte.

Unter den von *W.-F.* angemerkten Lücken machen drei Schwierigkeiten. Z. 8 haben sie, was ich beibehalten musste, [*τᾶς*] *πόλι*]*ος*; hier fehlt eine Klammer. — Im Anfange von Z. 10 geben sie 11 Punkte. Der Sinn verlangt ein Particip: „Der doch sein Lösegeld aus der Beute bezahlt hat, etwa *ἀποτ(ε)ίσαντος, κατενένκαντος* (s. 1909, 11). Ein derartiger Zusatz ist sonst nicht üblich, hier aber besonders erklärlich, weil im Vorhergehenden die Quittungsformel *καὶ τὰν τιμὰν ἔχει* fehlt. Der absolute Genitiv neben unmittelbar vorhergehendem Accusativ *Σωσικλῆ* ist vielleicht ein Analogon zu *ἐλευθέρας οὔσας* (1918, 12; 1979, 14; 2006, 11; 2010, 11) — s. die Bemerkung zu 2006 und 2049, 13 —, wenn diese Genitive nicht mit dem dort vorhergehenden *ἀντιτυγχάνοντες* in Beziehung gebracht werden dürfen. Der Zusatz *ἐκ πολεμίων* erinnert an „*ἀπὸ τῶν πολεμίων*“ andrer Inschriften (Ditt. 30, 2 s. Anm. dazu). Da *Σωσικλῆς* ein *σῶμα ἀνδρεῖον παιδάριον* genannt wird, so wird man anzunehmen haben, dass der Begriff von *παιδάριον* ein weiterer geworden war; denkbar wäre freilich auch, dass ein anderer (vielleicht ein Verwandter) ihm das Geld zum Freikauf gegegeben hätte. — Nach *ὁ ἱερεὺς τοῦ* [*Ἀπόλλωνος* Z. 11 geben *W.-F.* 9 Punkte. Nun hat Pomtow Beitr. 5 in der Anmerkung 2 zu Seite 4 notiert, dass er hier *Πατρέας* las. Das sind nur 7 Zeichen. Ob noch ein *καὶ* danach stand, das den Priesternamen mit dem des Privatzeugen verband? Für den Genitiv *Ἀνδρονίκου* (z. B. 1859, 7; 1895, 7) ist kein Platz. — Unsere Nummer gehört zu Priesterschaft X, aus der vorhergehenden ist 1693. Ob der *Πυρρίας Ἀρχελάου Δελφός* 1693, 4 derselbe ist wie der Archont in Z. 1 oben, und ob der *Μικκύλος Εὐδόκου* 1693, 13 derselbe wie Z. 11 der Privatzeuge? — An die Form *Πολε|μάχου* Z. 2/3, die *W.-F.* geben, will ich nicht recht glauben. Ich halte den Archont *Πολέμων* für den Sohn von *Πολέμαρχος Πολέμωνος* (1710, 15; 1711, 12).

Zeit. Priesterschaft X (in der Zeit von 140—100).

2087 *W.-F.* 422.

Στραταγέοντος τῶν Αἰτωλῶν Δοριμάχου | Τριχονέος μηνὸς Ἑρμαίου, ἐν Δελφοῖς δὲ ἄρ|χοντος Σωξένου μηνὸς Θευξενίου, ἐπὶ τοῖσδε | ἀπέδοτο Εὐβουλίδας Μηνίου Φαλικαῖος τῶι

Druck der Univ.-Buchdruckerei von E. A. Huth in Göttingen.

Sammlung

der

Griechischen Dialekt-Inschriften

von

J. Baunack, F. Bechtel, A. Bezzenberger, F. Blass, H. Collitz, W. Deecke, A. Fick, O. Hoffmann, R. Meister, P. Müllensiefen, W. Prellwitz.

Herausgegeben

von

Dr. H. Collitz.

Zweiter Band. V. Heft.

Die delphischen Inschriften.

(3. Teil: No. 2087–2342.)

Bearbeitet

von

Johannes Baunack.

Göttingen,
Verlag von Vandenhoeck & Ruprecht.
1896.

Verbesserungen und Nachträge zu den delphischen Freilassungen.

Dies diem docet.

1733, 10 lies *νεοκόρος*, vgl. 2100, 14. — **1747**, 19 lies *Ἡρ[(ω)]ΐδα*, vgl. 1755, 18; 2116, 12; 2232, 4. — **1792** *Ξενοφάνεια* ist die Frau des *Κλέων Κλευδάμου*. Vgl. 1761 u. 2029. — **1823**, 16 lies *Ἀ⟨ρι⟩στόξενος*, *Pomtow* Jhrb. 40, (1894) 699 Anm. 21. — **1828**, 4 Die Ergänzung von ⟨*ἐφ' ὧιτε*⟩ oder ⟨*ὥστε*⟩ unnötig, denn der Inf. kann allein im gleichen Sinne stehen, vgl. 1959, 7; 2039, 3. S. Verf. Ber. der k. S. Ges. der W. 1893, 101. — **1842** *Κύρα*, wovon *Κυραιεύς* Z. 2, unbekannt, „muss bei Physkeis gelegen haben, da der physkische Archont präscribiert ist". *Pomtow* Jhrb. 40, 694 Anm. — **1937**, 7 gewiss *[Π]άσων Δαμένεος* vgl. 2145, 13. — **1939** Nachträglich fand ich unter meinen Papieren aus Kastri noch einige Notizen zu dieser Nummer. 1) Nach *τῶι Ἀπόλλωνι* habe ich notiert: *τῶι Πυθίωι ἐπ' ἐλευθερία Μενεκράτεα Θεοκρίτου Ἀμβρυσσία συνπαρόντος*. 2) Ohne Angabe der Zeile: (*καθὼς ἐπί|στευσαν*) *τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὅτω ἐλεύθεροι εἶμεν καὶ | ἀνέφαπτοι ἀπὸ πάντων τὸν πάντα βίον, ποιοῦντες ὅ κα θέλωντι καὶ ἀπο|τρέχοντες οἷς κα θέλωντι. βεβαιωτὴρ κατὰ τοὺς νόμους· Καλλικράτης Διο|[δ]ώρου Δελφός. εἰ δέ τις ἐφάπτοιτο[* — die eine Zeile also von 55, die andre von 58 Zeichen — . 3) In *Κλεάνδρου* Z. 2 ist N über der Zeile nachgetragen. 4) Bei der Zeilenwende 1/2 habe ich *ἐν* | *[δὲ] Δ[ε]λ[φο]ῖς* notiert. 5) *Ἀμβρύσσω* sicher ohne Jota. 6) Der Name des ambryssischen Archonten geht sicher auf *-ευ* aus. Das Zeichen davor kann kein *λ* gewesen sein, dagegen spricht die erhaltene senkrechte Hasta. So bleibt, scheint mir, nur übrig anzunehmen, dass nicht *τ*, sondern *γ* oder *ν* gelesen wird. Ich schrieb ΕΠΙΤΕΙ[illegible]ΕΥ ab. Da wird nichts anderes als die Conjektur *Ἐπιγένευ* möglich sein. S. 2102. — **1959**, 7 s. oben zu 1828, 4. — **2006**, 8 besser *πράσσειν* von *θέλοντι* abhängig zu machen. Z. 11 solche Genitive wie *ὡς ἐλευθέρας οὔσας* (vgl. 1918, 11; 1979, 13; 2010, 11; 2041, 12) sind als absolute zu fassen. — **2018**, 5 *Ἀριστέα* st. *Αἰνέα* vgl. 2271, 5. — **2019**, 23 muss es gewiss *Μαντίας Κλευδ[(άμ)]ου* st. *°δώρου* heissen. — **2029**, 2 s. oben zu 1792. — **2039**, 3 s. oben zu 1828, 4. — **2056**, 3 lies *Ξενοφάνεια Παρνασσίου* nach *Pomtow* Jhrb. 35, 571 Anm. 83. S. oben zu 1792. — **2072**. Zeit: Jan./Febr. 198. — **2086**, 9/10 lies *ὡς λύτρα [Ξενοχάρεος λαβόν]τος* (vgl. *Pomtow* Jhrb. 35, 536, Vf. zu Nr. 2172), Z. 11 lies *παρεχόντω*, beseitige die Klammern von *Ἀπόλλωνος* und füge nach *Pomtow* Jhrb. 35, 519 die Z. 12 | *[Μέντ]ωρ, Σωσικράτης* hinzu. — **2088** u. **2090** Zeit. Priesterschaft VIII. Streiche VII oder IX. — **2088**, 13 lies *Εὔδοκος*. — **2091**. Zeit. Priesterschaft IX (streiche „oder X"). Z. 5 ergänze *[Νι]κία*. *Pomtow*, Philol. 54, 364 identificiert ihn mit *Νικίας Καφισία* in 1743, 5; dort habe ich *Νικέας* notiert. — **2094**, 38 hat *Pomtow Κάλλων Λεπτίνα* als Zeugen gelesen, s. Jhrb. 35, 568. — **2100** Vgl. 2150. Z. 16 *ἀπολίπωντ⟨α⟩ι* nach 2150, 9 wahrscheinlich. — **2101** Vgl. *Pomtow* Beitr. Berichtigung S. VII. — **2102** s. dazu oben 1939. — **2134**, 6 *H.* u. Vf. *τόμ*, *Pomtow τόν* auf dem Faksimile Jhrb. 40, Tafel II. — **2141**, 1 lies *[Ξενοδό]κου* u. vgl. 2202. — **2166** Solche Ungleichheiten der Schreibung wie in *Μελισίωνος* habe ich absichtlich gelassen. — **2285**, 15 Zu *Ὀρθαῖος Κλεάνδρου* vgl. 2337.

Bogen 31 war bereits am 1. Febr. 1893 fertig, konnte aber nicht mehr mit Heft 2 ausgegeben werden: so erklären sich die Bemerkungen zu 2150 gegenüber der in Bogen 31 enthaltenen Nr. 2100. Ursprünglich sollte nur noch ein einziges Heft, das 3., publiciert werden, aber wegen der Umfänglichkeit des Materials entschloss sich der Herr Verleger auf meine Bitte zu Anfang des J. 1896 nochmals zu teilen. An den Schluss der Freilassungen setzte ich den zu diesem Teile gehörigen, auf S. 185 und 476 angekündigten Anhang. Hierauf werden im Schlusshefte die übrig bleibenden Inschriftenrubriken folgen.

Leipzig, den 5. August 1896. **Johannes Baunack.**

Ἀ|πόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνο|μα Ἀρίστων ἐνδογενῆ, τιμᾶς ἀργυρίου μνᾶν | πέντε, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευ|σε Ἀρίστων τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύ|θερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα βίον, ποιέων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς | κα θέλη. εἰ δέ τίς κα ἐφάπτηται Ἀρίστωνος ἐπὶ κα|ταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν | ὠνὰν ὅ τε ἀποδόμενος Εὐβουλίδας καὶ ὁ βεβαιω|τὴρ Μνασίθεος τῶι θεῶι καὶ ὁμοίως ὁ παρατυχὼν ‖ κύριος ἔστω συλέων Ἀρίστωνα ὡς ἐλεύθερον ὄν|τα ἀνυπεύθυνος ἐὼν καὶ ἀνυπόδικος πάσας δί|κας καὶ ζαμίας. βεβαιωτὴρ κατὰ τοὺς νόμους | καὶ κατὰ τὸ σύμβολον· Μνασίθεος Διοδώρου | Δελφός. μάρτυροι· οἱ ἄρχοντες τῶν Δελφῶν ‖ Ἀντιγένης Διοδώρου, Λαιάδας Βαβύλου, Ἡρα|κλείδας Καλλία, ἰδιῶται Εὐάγγελος Πάτρω|νος, Κλέων Διονυσίου, Ἀζάρατος Ἀντιχάρεος, | Ἀρίστων Δαμοφάνεος, Κλεόδαμος Μαντία, | Ἄθαμβος Ἀθανίωνος Δελφοί, Εὐκράτης Ἀρμε‖νίωνος, Ἡρίας Ἀθανίωνος Φαλικαῖοι.

Die Inschrift steht auf Strecke BC mit 2086 und 2088—2093 zusammen über den Nummern (77)—(80).

W.-F. Z. 2 ἐκ Δελφοῖς, Druckfehler. S. S. 314. — Zu Φαλικαῖος Z. 4 und 25 vgl. 2004, 12. — In dem Nachsatze βέβαιον παρεχόντων κτλ. (Z. 12 ff.) ist das doppelte τῶι θεῶι auffällig. Entweder ist das eine als Versehen zu streichen (vgl. 1973, 4), oder das zweite ist als nur zu βεβαιωτήρ gehörig anzusehen (vgl. βεβαιωτὴρ τῶι θεῶι κατὰ τὸν νόμον 1831, 6/7). — Die Priester sind aus 1686, 12 ersichtlich.

Zeit. Priesterschaft VI (etwa 150—140).

2088 *W.-F.* 423.

Ἄρχοντος [Ξεν]οκ[ρ]ίτου τοῦ Ταραντί|νου μηνὸς Βοαθόου, βουλευόντων | τὰν πρώταν ἑξάμηνον [Σ]ωξένου τοῦ Ἐχε|φύλου, Σωσιπάτρου τοῦ Αἰακίδα, γραμματεύ|οντος Γενναίου τοῦ Ἡράκωνος, ἐπὶ τοῖσδε ἀ|πέδοντο Πραξίας καὶ Πραξὼ τῶι Ἀπόλλωνι τῶι | Πυθίωι σῶμα γυναικεῖον κορίδιον ἐνδογενὲς | ἇι ὄνομα Δικαιοσύνα, τιμᾶς ἀργυρίου μνᾶν τεσ|σάρων, καὶ τὰν τιμὰν ἔχοντι πᾶσαν, καθὼς ἐπί|στευσε Δικαιοσύνα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε | ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων | τὸν πάντα χρόνον. βεβαιωτῆρες κατὰ τὸν νόμον τᾶς πό|λιος· Εὔδικος καὶ Θρασυκλῆς. εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι Δικαιοσύνας, βέβαιον παρεχόντων τῶι θε‖ῶι τὰν ὠνὰν οἵ τε ἀποδόμενοι καὶ οἱ βεβαιωτῆρες. ὁμοίως | δὲ καὶ

οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες | Δικαιοσύναν ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐόντες | καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. παραμεινάτω | δὲ Δικαιοσύνα παρὰ Πραξίαν καὶ Πραξὼ ἄχρι οὗ κα ζώ||ωντι ἀμφότεροι ποιέουσα τὸ ποτιτασσόμενον | πᾶν τὸ δυνατόν· εἰ δὲ μὴ ποιέοι ἢ μὴ παραμένοι Δικαι|οσύνα, ἐξουσίαν ἐχόντων ἐπιτιμέοντες καθ' ὅ | κα ἀδικέῃ. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος | Ἄρχων καὶ οἱ ἄρχοντες Σώξενος, Σωσίπατρος, || [Γενναῖ]ος καὶ ἰδιῶται Τιμόκριτος.

Die Inschrift steht auf Strecke BC mit 2086, 2087 und 2089—2093 zusammen über den Nummern (77)—(80).

Die Ergänzung des Archonten in Z. 1 entnahmen *W.-F.* aus 2090, 1. Vgl. über das Archontat des Xenokritos jetzt Pomtow Beitr. S. 7/8, über das Ehepaar *Πραξίας* und *Πραξώ* (s. 1779) ebenda S. 86 Anm. — Z. 23 zu beachten die offene Form *ἀδικέῃ*, vgl. 2034, 19 *καθ' ὅ τι κα αὐτοῖς δοκῆι*. — Zum Plural *ἰδιῶται* vgl. 1904, 11. — Die Priesterschaft lässt sich nicht genau bestimmen. *Ἄρχων* gehört zu dreien.

Zeit. Priesterschaft VII oder VIII oder IX (in der Zeit von 140—100).

2089 *W.-F.* 424.

Ἄρχοντος ἐν [Δε]λφοῖς Εὐκλέος μηνὸς Ποιτροπίου, βουλευόντων τὰν | πρώταν ἑξάμ[ην]ον Εὐδόκου τοῦ Πραξία, Ἁγησιλάου τοῦ Ταραντίνου, γραμ|ματεύοντος [δ]ὲ Πολίτα τοῦ Ἀσάνδρου, ἐν δὲ Ἀθήναις στραταγέοντος || Ξενοκλέος μηνὸς Ποσειδεῶνος, ἐπὶ τοῖσδε ἀπέδοτο Ξένων Φιλίσ[ου] || Ἀθηναῖος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἀρσινόα τὸ | γένος οἰκογενῆ, τιμᾶς ἀργυρίου μνᾶν δέκα, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, | καθὼς ἐπίστευσε Ἀρσινόα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶ|μεν κ[αὶ] ἀνέφαπτος ἀπὸ π[άν]των τὸν πάντα βίον, ποιέουσα | ὅ κα θέλῃ καὶ ἀποτρέχουσα οἷς κα θέλῃ. βεβαιωτὴρ || κατὰ τὸν νόμον τᾶς πόλιος· Εὔδοκος Πρα|ξία Δελφός. εἰ δέ τις ἅπτοιτο ἐπὶ | καταδουλισμῶι | Ἀρσινόας, βέβαιον παρεχόντων τῶι | θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ξέ||νων καὶ ὁ βεβαιωτὴρ Εὔδοκος· εἰ δὲ μὴ | παρέχ[οιεν, πράκτι]μοι ἐόντων κατὰ τὸν νό|μον τᾶς πόλ[ιος]. καὶ ὁμοίως ὁ παρατυχὼν | κύριος ἔστω [σ]υλέων Ἀρσινόαν ὡς ἐ|λευ[θ]έραν ἐο[ῦσα]ν ἀνυπεύθυνος ἐὼν καὶ || ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. μάρτυροι· | Νικόλαος Τίμωνος, Καλ[λί]μαχος καὶ Ὑβρίλαος | Μνασιδάμου, Ἄνδρων Ξενοκλέος, Φίλιστος | Ξένωνος Χαλειεῖς, Διονύσιος Ἐρά[τ]ωνος, Βαβύ|λος

Αἰακίδα, [Λ]αιάδας Βαβύλου, Ξένων Ξενοκρί του, Δαμό[φ]ιλος Ἡρακλείδα, Τιμόκριτος Εὐκλεί δα Δελφοί.

Die Inschrift steht auf Strecke BC mit 2086—2088 und 2090—2093 zusammen über den Nummern (77)—(80).

Der Archont *Εὔδοκος* ist hier auch Bürge. — *W.-F.* Z. 16 *παρέχ[οντι]*. Vgl. *ἅπτοιτο* Z. 11. Bei *W.-F.*'s Ungenauigkeit in der Berechnung der Lücken bleibt es ungewiss, ob *παρέχ[οιεν]* oder *παρέχ[οιν]* zu wählen ist. — Z. 22/23 *Φίλιστος Ξένωνος* ist wohl der Sohn des Freilassers. — Auffällig Z. 4 *ἐν δὲ Ἀθήναις στραταγέοντος Ξενοκλέος*: der Steinmetz war mit athenischen Verhältnissen nicht vertraut.

Zeit. Priesterschaft VI (etwa 150–140).

2090 *W.-F.* 425. *Ditt.* 467.

Ἄρχοντος Ξενοκρίτου μηνὸς Ποιτροπί|ου τοῦ δευτέρου, βουλευόντων τὰν | πρώταν ἑξάμηνον Σω|σιπάτρου τοῦ Αἰακίδα, Σωξένου τοῦ ‖ Ἐχεφύλου, γραμματεύοντος δὲ Γενναίου | τοῦ Ἡράκωνος, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀριστίων | [Ἀναξ]ανδρίδα τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἅι | ὄνομα Ἵλαρον τὸ γένος ἐνδογενῆ, τιμᾶς ἀργυρίου μνᾶν πέν τε, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Ἵλαρον τῶι θε‖ῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάν|των τὸν πάντα βίον, ποιέουσα ὅ κα θέλῃ καὶ ἀποτρέχουσα | οἷς κα θέλῃ. βεβαιωτῆρες κατὰ τὸν νόμον τᾶς πόλιος· Βαβύλος | Αἰ[ακί]δα. εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι Ἱλάρου, βέβαι|ον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἀρι‖στίων καὶ ὁ βεβαιωτὴρ Βαβύλος· εἰ δὲ μὴ παρέχοιν βέβαιον | τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον | τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόν|των συλέοντες Ἵλαρον ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμ ιοι ἐόντες οἱ συλέοντες καὶ ἀνυπόδικοι πάσας [δί]κας ‖ καὶ ζαμίας. εἰ δέ τι γένοιτο ἐξ Ἱλάρου ἔκ|γονον, ἐπίνομον ἔστω ὧν κα ἐπικτήσηται | Ἵλαρον. εἰ δὲ ἀνθρώπινόν τι γένοιτο [περὶ] | Ἵλαρον ἀγενῆ οὖσαν, [ἅ κα] ἐπικτήση|ται Ἵλαρον Ἀριστίωνος ἔστω. μάρτυρ[οι]· ‖ ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄρχων καὶ οἱ | ἄρχοντες Σωσίπατρος, Σώξενος, | Γενναῖος καὶ ὁ νεωκόρος Μένης | καὶ ἰδιῶται [Λ]αιάδας, Βαβύλος Ἀνδρο|μένεος, Ἀναξανδρίδας, Πάτρων ‖ Ἰατάδα, [Σέλευκ]ος [Ἀρισ]τομάχου, Τι[μόκριτος].

Die Inschrift steht auf Strecke BC mit 2086—2089 und 2091—2093 zusammen über den Nummern (77)—(80).

Betreffs der Zeitbestimmung vgl. 2088. — Obwohl ein Mann Bürge ist, steht davor (Z. 12) der Plural *βεβαιωτῆρες*, so auch zuweilen *ἰδιῶται*, *ἄρχοντες*, *ἱερεῖς* 1904 Anm. — Die Erbschaftsbestimmungen in Z. 20 ff. sind die-

selben wie 1891, 26 ff. — *W.-F.* u. *Ditt.* Z. 30 *Ἰατάδα, ... ος [Ἀρισ]τομάχου, Τι[μόκριτος]*. Ich nehme 2094, 42/43 für die Ergänzung zu Hülfe.

Zeit. Priesterschaft VII oder VIII oder IX (in der Zeit von 140—100).

2091 *W.-F.* 426.

Ἄρχοντος Τιμοκρίτου τοῦ Εὐκλείδα μηνὸς Ἀμαλίου, βουλευόντων | τὰν δευτέραν ἑξάμηνον Ἀριστίωνος τοῦ Εὐκλείδα, Ἀσανδρίδα Πραόχου τοῦ Ἀρ|χελάου, γραμματεύοντος δὲ Πάτρωνος τοῦ Ἰατάδα, ἐν δὲ Ἀμφίσσα ἄρχον|τος Νικάρχου τοῦ Ἰόλα μηνὸς Γιγαντί[ου], ἐπὶ τοῖσδε ἀπέδοτο Ξάνθιον, ‖ συνευδοκέοντος καὶ τοῦ ἀνδρὸς αὐτᾶς [. .]κία καὶ τοῦ υἱοῦ αὐτᾶς Καφισία | καὶ τᾶς θυγατέρος Μελισσίδος, τῶι Ἀπ[όλλω]νι τῶι Πυθίωι σῶμα γυναικεῖ|ον ἆι ὄνομα Κοσσύφα τὸ γένος Σύραν καὶ τὸν υἱὸν αὐτᾶς Μανθ[ά]νην, | τιμᾶς ἀργυρίου [μνᾶν τεσσ]άρων, καὶ τὰν τιμὰν ἔχοντι πᾶσαν, καθὼς [ἐπί|στευσαν Κοσ]σύφ[α κ]αὶ Μαν[θάνη]ς τὰν ὠνὰν τῶι θεῶι. βεβαιωτῆρ[ες] κατὰ ‖ τοὺς νόμους τᾶς πόλιος· Καφισίων [. . . . Ἀμ]φισσεύς, Πασίων Κλέωνος Δελφός. | εἰ δέ τις ⟨αν⟩ ἐφάπτοιτο Κοσσύφας ἢ Μαν[θά]νου ἐπὶ καταδουλισμῶι, βέβαι|ον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα Ξάνθιον καὶ οἱ βεβαιωτῆ|ρες· εἰ δὲ μὴ παρέχοιν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον. ὁμοί[ως δὲ] καὶ οἱ παρα|τυγχάνοντες κύριοι ἐόντων συλέοντες Κοσσύφαν καὶ Μανθά[νην] ὡς ἐλευθέρους ‖ ἐόντας ἀζάμιοι ἐόντες οἱ συλέοντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. | μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄθαμβος καὶ ἰδιῶται Τιμόκριτος, Ξενόκριτος | Ταραντίνου, Κλέων Κλευδάμου, Ταραντῖνος Ξενοκρίτου Δελφοί, Ἀγησίλαος | Δαμοκλέος, Δαμοκλῆς Μνασιλάου, Τιμέας, Στρατόνικος, Δαμόφαντος, Ἰσαῖος | Ἀμφισσεῖς.

Die Inschrift steht auf Strecke BC mit 2086—2090, 2092 und 2093 zusammen über den Nummern (77)—(80).

Zu Z. 2. Die Bestimmung des *Ἀσανδρίδας* durch 2 Vorfahren hat ein Analogon 1895, 1. — *W.-F.* Z. 6 *τᾶς θυγατέρος Ἰτεδισαΐδος*, Pomtow 5, Anm. 2 zu S. 4 berichtigt die Lesung. — Der Name *Κοσσύφα* schon 1995, 3. — Bemerkenswert das *ϑ* in *Μανθάνης*, sonst hat der Name *Μανδάνη* die Media. Möglich, dass der Steinmetz etymologisierte, etwa *ἄνθος* darin suchte und an Namen wie *Δαμάνθης* dachte. — Für den ersten Bürgen habe ich keinen Beleg, der zweite ist bekannt (1826, 4; 1945, 11) in dieser Funktion. — Zu Z. 11. Die Formel hat entweder *εἰ δέ τίς κα ἐφάπτηται* oder *εἰ δέ τις ἐφάπτοιτο*. *W.-F.* geben hier: *εἰ δέ τις ἂν ἐφάπτοιτο*. Vielleicht erklärt sich das Versehen des Steinmetzen so, dass er *εἰ δέ τις αὐτῶν ἐφάπτοιτο* einschlagen wollte (vgl. 1732, 12), sich aber beim 2. Zeichen versah, das Versehen stehen liess und dafür die vollen

Namen hinter dem Verbum brachte. Jedenfalls rechne ich diesen Fall nicht zu den 1828, 12; 1830, 10 besprochenen (vgl. noch die unsichere Stelle 1924, 9). Wenden die Steinmetzen ggr. *ἄν* an, so steht es richtig beim Conjunctiv, vgl. 1766, 7; 2032, 9. — Der *ἀρχ. ἐπών.* ist der erste Privatzeuge, vgl. 2022.

Zeit. Priesterschaft IX — oder X — (in der Zeit von 140—100).

2092 *W.-F.* 427.

Ἄρχοντος Ἡρα[κλε]ίδα μηνὸς [Θ]ευξενίου, βουλευόντων τὰν δευτέραν ἑξάμηνον Φίλωνος, Πο|λυτιμίδα, Ἐχεφύλου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἐχέφυλος Πολ[υ]κλείτου τῶι Ἀπέλλωνι τῶι Πυθίωι | σῶμα ἀνδρεῖον ὧι ὄνομα Ζωΐλος τὸ γένος ἐγγενῆ, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν | ἔχει πᾶσαν. βεβαιωτὴρ κατὰ τοὺς νόμους· Ὑβρίας Ξένωνος. εἰ δέ τις ἅπτοιτο [Ζωΐλου], βέβαιον || παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος καὶ ὁ βεβαιωτήρ· εἰ δὲ μὴ παρέχοιν βέβαιον | τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων. ὁμοίως δὲ καὶ οἱ παρατυγ[χάν]οντες κύριοι ἐόντων | συλέοντες Ζωΐλον ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ὄντες οἱ συλέοντες [καὶ ἀνυπό]δικοι πάσας | δίκας καὶ ζαμίας. παραμεινάτω δὲ Ζωΐλος παρὰ Γαλάτειαν ἄχρι οὗ κα ζώη ποι|έων τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως καὶ δ[ουλεύων] || Γαλατεία· εἰ δὲ μὴ ποιέοι τὸ ποτιτασσόμενον ἢ μὴ δου|λώη καθὼς γέγραπται, ἐξουσίαν ἐχέτω ἐπιτι|μῆν καὶ ἄλλος ὑπὲρ Γαλάτειαν ὅν κα | Γαλάτεια κελεύση. μάρτυροι· ὁ ἱερεὺς τοῦ | Ἀπόλλωνο[ς Ἄρ]χων καὶ οἱ ἄρχοντες || Φίλων Ἰατάδα, Πολυτιμίδας, Ἐχέφυλο[ς], ἰδι|ῶται Ἄγων, Νικάτας, Ἁβρόμαχος, Τιμόκριτος.

Die Inschrift steht auf Strecke BC mit 2086—2091 und 2093 zusammen über den Nummern (77)—(80).

Der *γραμματεύς* ist der Freilasser. — *W.-F.* Z. 8 *Παλάτειαν*, 10 *Παλατεία*, 12 *Παλάτειαν* und *Παλάτεια*, corrigiert von Pomtow Beitr. 118, Anm. 1. — *W.-F.* Z. 9 Ende *δ[ουλεύων]*|. Da aber *δουλώη* folgt, möchten wir dieses Verbum auch Z. 9 haben, und die Analogie von *συλήοντες* 2100, 10, *ἀπαλλοτριώουσα* 1684, 8; 1718, 13 u. a. würde *δ[ουλώων]* fordern. Vgl. jedoch *δουλεύοντες* 2072, 22. — *W.-F.* schliessen Z. 12 mit *ὅν κα Παλά*| und Z. 13 mit *τοῦ [Ἀπόλλωνος]* ab. Das berichtigt Pomtow Beitr. S. 118, und er fügt ebenda die 3 bei jenen fehlenden Zeilen (14—16) hinzu. — Auffällig, dass der Freilasser unter den Zeugen genannt ist. In welchem Verhältnisse zu ihm *Γαλάτεια* steht, wissen wir nicht; vgl. 1828 Anm.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

2093 *W.-F.* 428.

Ἄρχοντ[ος ἐ]ν Ἀμφίσσαι Ἀριστοδάμου τοῦ Ἐπινίκου | μηνὸς

Ἀγρεστυῶνος, ἐν Δελφοῖς δὲ ἄρχοντος Δάμωνος τοῦ | Ξενοστράτου μηνὸς Βουκατίου, βουλευόντων τὰν πρώταν ἑξά|μηνον Βαβύλου τοῦ Αἰακίδα, Κλέωνος τοῦ Δαμοσθένεος, γραμ||ματεύοντος Δίωνος τοῦ Ἐπισ[θ]ένεος, ἐπὶ τοῖσδε ἀπέδοτο | Σωσίλα Εὐτέλεος Ἀμφισσὶς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖ|ον ἇι ὄνομα Δωρὶς τὸ γένος οἰκογενῆ, τιμᾶς ἀργυρίου μνᾶν τεσ|σάρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καὶ τὰν θυγατέρα αὐτᾶς ἇι ὄν||[ομα] Δαμαινέτα, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευ||σε Δωρὶς καὶ Δαμαινέτα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὥιτε ἐλεύθ|εραι εἶμεν καὶ ἀνέφαπτοι ἀπὸ πάντων τὸν πάντα βίον, ποιέου|σαι ὅ κα θέλωντι καὶ ἀποτρέχουσαι οἷς κα θέλωντι. βεβαι|ωτῆρες κατὰ τὸν νόμον τᾶς πόλιος καὶ κατὰ τὸ σύμβολον· | Δαμοκλῆς καὶ Πραξίδαμος Μνασιλάου Ἀμφισσεῖς. εἰ δέ || τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι Δωρίδος ἢ Δαμαι|νέτας, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀπο|δο[μέν]α Σωσίλα καὶ οἱ βεβαιωτῆρες Δαμοκλῆς καὶ Πρα|ξίδαμος· ε[ἰ δὲ] μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠν|άν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. || ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέον|τες Δωρίδα καὶ Δαμαινέταν ὡς ἐλευθέρας ἐούσας ἀζάμ|ιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρ||[τυ]ροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄρχων, Δρομοκλείδας, ἄρχοντες· Σέλευκος· Δίων· Τιμόκρ[ι]τος.

Die Inschrift steht auf Strecke BC mit 2086—2092 zusammen über den Nummern (77)—(80).

In Z. 24 ist die Ueberlieferung nicht in Ordnung. Wer die Archonten sind, steht Z. 4 und 5. Von ihnen ist Z. 24 nur einer genannt, *Δίων Ἐπισθένεος*. Wie ist *Σέλευκος* zu beurteilen? Stand Z. 23 Ende noch [*καὶ τοὶ*]?

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2094 *W.-F.* 429.

Ἄρχοντος ἐν Χαράδρα Ἀριστομένεος | τοῦ Χαρμίδα μηνὸς ὀγδόου, ἐν Δελφοῖς | δὲ ἄρχοντος Εὐκλέος τοῦ Καλλιστρά|του μηνὸς Ἡρακλήου, βουλευόντων || τὰν δευτέραν ἑξάμηνον Καλλικράτεος τοῦ Διοδώρου, Ἁγίωνος τοῦ Πολυκλεί|του, γραμματεύοντος Δάμωνος τοῦ | Ξενοστράτου, ἐπὶ τοῖσδε ἀπέδοτο Σω|τέλης Ἀριστομένεος, συνευδοκεόν|των καὶ τῶν υἱῶν αὐτοῦ Ἀριστομένεος | καὶ Ἀριστομάχου Χαραδραίων, τῶι Ἀπόλλω|νι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Σω|σίας τὸ γένος Γα-

λάταν τεχνείταν σκυ|τῆ, τιμᾶς ἀργυρίου μνᾶν δέκα, καὶ τὰν τι|μὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Σωσίας | τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶ|μεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάν|τα βίον, ποιέων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς | κα θέλη. βεβαιωτῆρες κατὰ τοὺς νόμους || τᾶς πόλιος καὶ κατὰ τὸ σύμβολον· Δάμων | Ξενοστράτου Δελφός, Πολυκράτης Πολυ|ξένου Χαραδραῖος. εἰ δέ τις ἅπτοιτο ἐπὶ κα|ταδουλισμῶι Σωσία, βέβαιον παρεχόν|των τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμε|νος Σωτέλης καὶ οἱ βεβαιωτῆρες Δά|μων, Πολυκράτης· εἰ δὲ μὴ παρέχοιν βέ|βαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι | ἐόντων κατὰ τοὺς νόμους τᾶς πόλιος | καὶ κατὰ τὸ σύμβολον. ὁμοίως δὲ || καὶ οἱ παρατυγχάνον|τες κύριοι ἐόντων συλέοντες Σωσίαν | ὡς ἐλεύθερον ὄντα ἀζάμιοι ἐόντες καὶ ἀνυ|πόδικοι [πάσας δί]κας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας καὶ οἱ || ἄρχοντες Ἁγίων Πολυκλείτου, Καλλικράτης Διο|δώρου, Δάμων Ξενοστράτου καὶ ἰδιῶται Πρώταρχος, Σώξενος, Εὐχαρμ[ί]δας, Δρ[ομοκ]λείδας, [Μ]ένης, | Δημήτριος [. . . . .]|κος Δελφοί, Ἀριστόδαμος, Σέλευκος, Κλεόβουλος, Ζ[η||ν]όδωρος Χαραδραῖοι. μάρτυροι [. . . . .] συνευδόκησαν | οἱ υἱοί· Δάμων Ξενοστράτου, Μεγάτας, Πολέμαρ|χος Χαριξένου, Πάτρων Ἰατάδα, Ξένων [Ξε]νοκρίτου, Σέλευκος Ἀριστομάχου, Τιμόκριτος Εὐ|κλείδα, Κλέων Τιμαγόρου, Μένης [Πεισι]||στράτου Δελφοί, Πολυκράτης Πολυξένου Χαραδραῖος, Ἀρίδαμος Ἀνδρομέν[εος . . . .]||αῖος.

Die Inschrift steht auf Strecke BC mit 2095 zusammen über den Nummern (75) und (76).

Aus Priesterschaft VI haben die Form Ἡρακλήου (Z. 4) noch 1685, 1; 2020, 1. — Zu dem Genitiv Χαραδραίων (Z. 11) vgl. Ἡρακλεῶται 1895, 3; zu Z. 13/14 vgl. 1842, 5/6 τεχνῆτιν αὐλητρίδα. — Der erste Bürge ist der γραμματεύς. — Merkwürdig ist die doppelte Anführung von Zeugen, Z. 33 ff. und 40 ff. Es scheint so, als ob die Lücke nach μάρτυροι in Z. 40 den Sinn von ὅτι τοῦτο oder ὅτι ἐπὶ τούτοις (vgl. 1994; 1995; 2084) hatte, dass die Einwilligung der Söhne besonders bezeugt wurde. Bemerkenswert ist jedenfalls, dass von den Delphiern der Bürge, und ebenso von den Χαραδραῖοι der Bürge die 2. Liste der Zeugen beginnt, und dass so Δάμων Ξενοστράτου zweimal als Zeuge genannt ist, da er in der 1. Liste als Archont erwähnt wird. — Zu Ἀρίδαμος Z. 46 setzen *W.-F.* selbst ein Fragezeichen (Ἀρ(χ)ίδαμος, Ἀσίδαμος?). Ich lasse mit ihnen die Lücke nach Ἀνδρομένεος unausgefüllt, obwohl gewiss mehr als wahrscheinlich ist, dass [Χαραδρ]|αῖος die Inschrift beendete. Auch die erste Liste schliesst mit Χαραδραῖοι. Die Wiederholung des Ethnikons bei zwei auf einander folgenden Namen, wofür man einmal den Plural

erwartet, begegnet 1908 Schluss; 2002, 3; 2011, 8. Ein Blick auf die Schrift würde die Beurteilung wesentlich bestimmen. — Zum Plural *τοὶ ἱερεῖς* vgl. 1880, 12.

Zeit. Priesterschaft VI (etwa 150—140).

2095 *W.-F.* 430.

Ἄρχοντος Εὐκλέος μηνὸς Εἰλαίου, βουλευόντων | τὰν δευτέραν ἑξάμηνον Ἁγίωνος τοῦ Πολυκλείτου, | Καλλικράτεος τοῦ Διοδώρου, γραμματεύοντος Δά|μωνος τοῦ Ξενοστράτου, ἐπὶ τοῖσδε ἀπέδοτο ‖ Δαμὼ Καλλιδάμου, συνευδοκέοντος καὶ τοῦ ἀνδρὸς αὐτᾶς Ἀμφιστράτου καὶ τῶν υἱῶν αὐτᾶς Καλλιδά|μου, Μνάσωνος, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυ|ναικεῖον ἇι ὄνομα Εὔκλεια τὸ γένος Σύραν, τιμᾶς | ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, ‖ καθὼς ἐπίστευσε Εὔκλεια τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε | ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν | πάντα βίον, ποιέουσα ὅ κα θέλη καὶ ἀποτρέχουσα οἷς κα θέ|λη. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Κλέων | [. . .]ωνος. εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι Εὐκλείας, ‖ βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα | Δαμὼ καὶ ὁ βεβαιωτὴρ Κλέων· εἰ δὲ μὴ παρέχοιν βέβαι|ον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν | νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνον|τες κύριοι ἐόντων συλέοντες Εὔκλειαν ὡς ἐλευθέ‖ραν ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι | πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλ|λωνος Πραξίας, Ἀνδρό[νικ]ος καὶ οἱ ἄρχον|τες Ἁγίων, Καλλικράτης, Δάμων καὶ ἰδιῶται | Κ[λε]ύδαμος Μαντία, Κλέων Διονυσίου, Νικά[ρε]‖τος, Ἡρακλείδας Ἀριστοδάμου, Εὐκλείδας [Καλλεί]|δα, Τιμόκρ⟨ε⟩ιτος.

Die Inschrift steht auf Strecke BC mit 2094 zusammen über den Nummern (75) und (76).

Der Bürge ist vielleicht derselbe, der Priesterschaft IV Archont ist und auch 1733, 5; 1773, 7 in der Eigenschaft als Bürge fungiert; also *Κλέων [Δί]ωνος*. *W.-F.* geben freilich die Lücke grösser. Oder ob *Κλέων [ὁ Δί]ωνος*? — Z. 24 *Νικά[ρε]τος*, vgl. 1697, 1 u. a. — *W.-F.* Z. 26 *Τιμόκρειτος*, Versehen des Steinmetzen wie *Καλλικρί⟨ι⟩του* 1747, 3.

Zeit. Priesterschaft VI (etwa 150—140).

2096 *W.-F.* 431.

Ἄρχοντος Εὐκλέος μηνος Ἡρα|κλείου, βουλευόντων τὰν δευτέραν ἑξά|μηνον Ἁγίωνος τοῦ Πολυκλείτου, Καλλικράτε|ος τοῦ Διοδώρου, γραμματεύοντος Δάμωνος ‖ τοῦ Ξενοστράτου, ἐπὶ

Die ersten drei Worte in den Manumissionen selten: vgl. 2084, 2255, 2319, 2322, 2342. — Als Timanor zum 2. Male in *Χάλειον* eponymer Archont war, gaben daselbst 2 Brüder den Etasios für 20 Minen frei. Der Feierlichkeit wohnten 5 Zeugen bei. Die Urkunde über den Akt erhielt der Bürge, nachdem Etasios die beiden Verkäufer einzeln auf ihr hatte bestätigen lassen: „Der Loskäufer ist frei". Zur Sicherung dieser Errungenschaft liess der Freigelassene die ganze Urkunde noch im Tempel des Apollo zu Delphi wörtlich in Stein graben. — *H.* Z. 1/2 *Κοου*[*τί*]*ου* nach 1734, 1. — 2 Zum Acc. *Ἐτάσιον* s. 1848, 4. — 4 *ἐπίστευσαν*, gegen die Regel, nach der wir *ἐπίστευσε* erwarten. Der Steinmetz war nicht sorgfältig, wie wir aus *τού(ς)* Z. 4, aus *ὤν(ὰν)* Z. 5 und der Dittographie *ὁμολογέω* Z. 6 ersehen. *Χαλεεύς* Z. 5 hat drei Formen zur Seite mit Diphthong *ει* (*Χαλείοι* 1, *Χαλειέος* 1, *Χαλειεῖς* 2); übrigens *Χαλεῆ* 1693, 11.

Für die Datierung haben wir keinen bestimmten Anhalt. Die Inschrift steht unter No. 2251, die Priesterschaft VIII angehört; links davon stehen 2250 und 2140, die beide aus VIII sind; rechts davon stehen 2252 und 2164 aus der VI. und dazwischen 2163 aus der V. Priesterschaft.

Zeit. Unbestimmt; vielleicht 150—100.

2147 *Haussoullier* Bull. V, 46. C. v. B.

Ἄρχοντος ἐν Δελφοῖς Ἡρακλείδα μηνὸς Δαιδαφορίου, ἐν δὲ Ἀμβρύσσωι | ἄρχοντος Δάμωνος μηνὸς δευτέρου, βουλευόντων ἐν Δελφοῖς τὰν πρώ|ταν ἑξάμηνον Νικάτα τοῦ Ἀλκίνου, Σωστράτου τοῦ Σωτύλου, γραμμα|τεύοντος Καλλία τοῦ Δίωνος, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀλκαῖος Λάμπρωνος Ἀμ||βρύσιος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Λέαινα, | τιμᾶς ἀργυρίου μνᾶν πέντε. τὰν τιμὰν ἔχει πᾶσαν. καθὼς ἐπί|στευσε Λέαινα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧτε ἐλευθέραν εἶμεν καὶ ἀνέ|φαπτον ἀπὸ πάντων τὸν πάντα βίον, ποιοῦσα ὅ κα θέλη καὶ ἀποτρέχου|σα καθώς κα θέλη. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Λυκίσ||κος Λυκίσκου Ἀμβρύσσιος. εἰ δέ τις ἐφάπτοιτο Λεαίνας ἐπὶ κα|ταδουλισμῶ, [β]έβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀπο|δόμενος Ἀλκαῖος καὶ ὁ βεβαιωτήρ. εἰ δὲ μὴ παρέχοιεν τῶι | θεῶι βέβαιον τὰν ὠνάν, πράκτιμοι ἐόντω κατὰ τὸν νόμον τᾶς πό|λιος. ὁμοίως δὲ καὶ οἱ παρατυχόντες κύριοι ἐόντ[(ων)] συλέοντες || Λέαιναν ἐπ' ἐλευθερίαι ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐ|όντες οἱ συλέοντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. | μάρτυρες· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄρχων καὶ οἱ ἄρχοντες Νικά|τας, Σώστρατος, Καλλίας καὶ ἰδιῶται Ἀντιγένης Διοδώρου, Νικό|μαχος Δελφοί, Δωρόθεος Δίωνος, Ἐπίξενος Εὐρυτίμου Ἀμ||βρύσσιοι.

H. Z. 1 °ύσσω[ι]. — 2/3 πρ[ώταν]|. — 3 γραμμ[α]|τ°. — 10 [κα]|ταδουλισμῶι, βεβ°. Also die Zeilenenden in 1, 2, 3, 10 sind nicht weggebrochen; der Dativ κα|ταδουλισμῶ hat kein Jota; das erste β von βέβαιον fand ich nicht mehr. — 12 Ἀλκα[ῖ]ος. — 15 ἐπ' ἐλευθερίας, aber der sonst übliche Dativ steht auch hier. — Zu ποιοῦσα Z. 8 vgl. 1854, 17. In Z. 14 begegnet dem Steinmetzen eine ähnliche Vermischung der Formulare, denn ἐόντων wird erwartet st. ἐόντες, was der Stein wirklich hat und *H.* ungeändert lässt. — Z. 5/6 das Ethnikon mit einfachem σ, Z. 19/20 °σσιοι.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

2148 *Haussoullier* Bull. V, 47.

Ἄρχοντος ἐν Δαυλία Πολυξένου τοῦ Ὀλυμπίωνος | μηνὸς δευτέρου, ἐν δὲ Δελφοῖς ἄρχοντος Δαμοσθένεος | μηνὸς Δαιδαφορίου, βουλευόντων τὰν πρώταν ἑξάμηνον Τ[ι]|μοκλέος τοῦ Θρασέα, Φιλαιτώλου τοῦ Φαίνιος, γραμματεύ||οντος Ἀναξανδρίδα τοῦ Αἰακίδα, ἀπέδοτο Κλεύβουλος | Ἀλεξικράτεος Δαυλιεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα | ἀνδρεῖον ὧι

ὄνομα Ζώπυρος τὸ γένος οἰκογενῆ, τιμᾶς ἀρ|γυρίου μνᾶν τριῶν καὶ ἡμιμναίου, κ[αὶ] τὰν τιμὰν ἔχει πᾶσαν, | καθὼς ἐπίστευσε Ζώπυρος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὥιτε ἐ‖λεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα | χρόνον, ποιέων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέλη. βεβαιω|τὴρ κατὰ τὸν νόμον καὶ κατὰ τὸ σύμβολον τᾶς πόλιος· Ἀγη|σίλαος Ταραντίνου Δελφός. εἰ δέ τις ἅπτοιτο Ζωπύρου ἐπὶ κα|ταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ ‖ τε ἀποδόμενος Κλεύβουλος καὶ ὁ βεβαιωτὴρ Ἀγησίλαος. εἰ | δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, (πράκτιμοι ἐόντων) ὅ τε ἀπο|δόμενος Κλεύβουλος καὶ ὁ βεβαιωτὴρ Ἀγησίλαος κατ[ὰ] | τὸν νόμον τᾶς πόλιος καὶ κατὰ τὸ σύμβολον. ὁμοίως δὲ | καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες ‖ Ζώπυρον ἐλεύθερον ὄντα ἀζάμιοι ἐόντες καὶ ἀνυπό|δικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄρχων καὶ οἱ ἄρχοντες Τιμοκλῆς, Φιλαίτωλος | καὶ ὁ γραμματεὺς Ἀναξανδρίδας καὶ ἰδιῶται Κλέων Κλε[υ|δ]άμου, Ἁγίων Δρομοκλείδα, Εὐάγγελος, Θρασυκλῆς, Πυ[ῤῥί]‖ας, Ἄθαμ[βο]ς Ἀθανίωνος.

H. Z. 16 ohne die in (—) gedruckten 2 Wörter. Das ist entweder ein Fehler des Steinmetzen oder des Herausgebers. Möglich, dass das Auge des Steinmetzen aus diesem Satze (Z. 16) auf den vorhergehenden (Z. 14/15) in der Vorlage abirrte. Sollte er, wie das so oft in den Inschriften auf der Polygonalmauer geschieht, nicht das Vergessene nachgetragen haben, zwischen Z. 15 und 16? — Der Name des ersten Privatzeugen steht so, wie oben ergänzt ist, z. B. 2207, 8/9; *Πυῤῥίας* (*Ἀρχελάου*) 2148, 11.

Zeit. Priesterschaft VII (in der Zeit von 140—100).

2149 *Haussoullier* Bull. V, 48. Z. T. c. v. B.

Ἄρχοντος ἐν Ἐρεινεῶι Κλέωνος τοῦ Σωστράτου μηνὸς Βου|κατίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Καλλικράτεος τοῦ Διο|δώρο[υ] μηνὸς Βουκατίου, βουλευόντων τὰν πρώταν | ἑξάμην[ο]ν Φίλωνος τοῦ Ἰατάδα, Μνα[σ]ιδάμου τοῦ Ξε‖νοκρίτου, Κλευξενίδα τοῦ Ἀθανίωνος, ἐπὶ τοῖσδε ἀπέδο[τ]ο Ἀριστίων Ἀριστομήδεος καὶ Πολυκράτηα | Μνασιθέου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον κορίδιον ἇι ὄνομα Ζωπ[υρ]ὶς τὸ γένος οἰκογενῆ, | τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν [ἔχει] ‖ πᾶσαν, καθὼς ἐπίστευσε Ζωπυρ[ὶς] τῶι θεῶι τὰν | ὠνάν, ἐφ' ὥιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάν|των τὸν ⟨τον⟩ πάντα βίον, ποιέουσα ὅ κα θέλη καὶ | ἀποτρέχουσα οἷς κα θέλη. βεβαιωτὴρ κατὰ τοὺς | νόμους τᾶς πόλιος· Ἀριστόβουλος [Ἐριν]αῖ[ος]. εἰ δέ τίς [κα] ‖ ἅπτηται Ζωπυ-

ρίδος ἐπὶ καταδουλισμῶι, βέβαιον | παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀπο|δόμενος Ἀριστίων καὶ Πολυκράτεια καὶ ὁ βε|βαιωτὴρ Ἀριστόβουλος. εἰ δὲ μὴ παρέχοιν βέβαι|ον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν νό||μον τᾶς πόλιος. ὁ[μοίω]ς δὲ καὶ οἱ παρατυγχάνον|τες κύριοι ἐόντων συλέοντες Ζωπυρίδα ὡς ἐλευ|θέραν ἐοῦσαν ἀζάμιοι ἐόντες οἱ συλέοντες καὶ | ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ | ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄρχων Καλλία, [Ἄ]θαμβος Ἁ||βρομάχου καὶ οἱ ἄρχοντες Φίλων Ἰατάδα, Μνασίδα|μος Ξενοκρίτου, Κλευξενίδας Ἀθανίωνος [κ]α[ὶ ἰδι]|ῶται Τιμόκριτος Εὐκλείδα Δελφοί, Δαμοκλῆς, | Ἐπίμαχος [. . . . .].

Z. 1 wie 1719, 1 *ἄρχοντος*, 2030, 2 *ἐν δὲ Ἐρινεῶ δ ω ρ ι α ρ χ έ ο ν τ ο ς.* — *Καλλικράτης Διοδώρου* ist in No. 2162 *γραμματεύς.* — Von Z. 1—7 habe ich den Stein eingesehen: *H. Ἐρ[ι]νεῶι*, Stein ΕΡΓΙΝΕΩΙ. — 2 *H.* [*Διο*]°. — 3 *H. π[ρώταν]*. — 4 *H. ἑξάμηνον*, dann *Μνασιδάμου.* — 4/5 *H. Ξενο|κρίτου.* — 5 *H.* [*Κ*]*λευξ°*. — 5/6 *H. ἀπέ δοτο.* — 6/7 *H. Πολυκράτε[ια Μ]|νασιθέου.* — 7/8 *H. γυ[ναι]|κεῖον.* Damit brechen die Notizen ab, leider; weshalb, weiss ich nicht mehr. — *H.* Z. 14 *Ἀριστόβουλος* I[. .]*αι*[. .]. Was anderes soll als das Ethnikon dahinter stecken? Bei ausserdelphischen Bürgen ist ja der Vatersname öfters weggelassen, z. B. 2027, 9 *βεβαιωτὴρ κατὰ τὸν νόμον· Λυσίπονος Ἀμφισσεύς.* — Z. 16/17 erwarten wir *οἵ τε ἀπο|δόμενοι.* — Nach *Ἐπίμαχος* giebt *H.* sechs Punkte. Danach scheint nur éin Wort verloren gegangen zu sein. Wenn die delphischen Privatzeugen mit *Δελφοί* abschliessen, erwarten wir am Schlusse noch *Ἐρινaῖοι.* Vgl. 2030, 14. — *Πολυκράτηα* und *Πολυκράτεια* wechseln in Z. 6 und 17, wie *Ἱεροκληα* und *°όκλεια* in 1918 und 1919.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

2150 *Pomtow* (2)[1]: *C.-B.* 95.

Ἄρχοντος Στράτωνος τοῦ Ἰατάδα μηνὸς Ἰλαίου, | βουλευόντων Νικία, Ἐράτωνος, Κλεομάντιος, | ἐπὶ τοῖσδε ἀπέδοτο ⟨δοτο⟩ Γρεῖπος καὶ Φιλὼ τῶι Ἀπόλλω|νι τῶι Πυθίωι σῶμα ἀνδρεῖον παιδάρ⟨ε⟩ιον ὧι ὄνομα Φί||λων τὸ⟨το⟩ γένος οἰκογενῆ, τειμᾶς ἀργυρίου μνᾶν | πέντε, καὶ τὰν τιμὰν ἀπέχει πᾶσαν. βεβαιωτὴρ κα τὰ τοὺς νόμους τᾶς πόλιος· Ἄρχων Νικοστράτου. εἰ δέ | ⟨ει δε⟩ τι γένοιτο περὶ Γρῖπον ἢ Φιλὼ ἀνθρώπινον, ποησά|τω τὰ ποτὶ γᾶν πάντα Φίλων, καὶ ὅσα κ' ἀπολίπωντι, λαβέ||τω πάντα Φίλων. εἰ δέ τις ἐφάπτοιτο Φίλωνος ἐπὶ κα|ταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠ|νὰν οἵ τε ἀπο⟨απο⟩δόμενοι καὶ ὁ βεβαιωτήρ. ὁ|μοίως δὲ καὶ ὁ

---

[1]) Pomtow (1) von *C.-B.*, weil unleserlich, weggelassen. S. oben S. 475.

παρατυχὼν κύριος ἔστω συλέων | Φίλωνα ἐπ' ἐλευθερίαι ἀζάμιος ὢν καὶ ἀνυπόδι|κος πάσας δίκας καὶ ζαμίας. μάρτυροι· οἵ τε ἱερεῖς | τοῦ Ἀπόλλωνος Λαιάδας, Νικόστρατος, ἰδιῶται | Νικίας, Καλλίστρατος, Εὐκλείδας.

Ehe ich diese Urkunde kennen lernte, war meine Bearbeitung von 2100 gedruckt. Was dort vermutet wurde, wird hier bestätigt. Der Sclave *Φίλων* ist jener *Φίλων* von 2100, 16. Die No. 2150 ist 6 Monate jünger als 2100: im Amalios (richtiger in der Zeit, in der der Nachtrag (Z. 15—17) aufgesetzt wurde) sollen *Φίλων* und *Φίλιππος* gemeinsam Erben der Habe der Freilasser werden, im Ilaios *Φίλων* allein: also ist inzwischen *Φίλιππος* gestorben, oder er hat die *παραμονά* (2100, 17) nicht gehalten. — *C.-B.* 4 *παιδαρεῖον*, Versehen wegen *ἀνδρεῖον*. — 15 nach *τε* fehlt *καί*, vgl. 2151, 13; 2152, 13; 2164, 6/7; 2199, 17; 2259, 10. — Oben steht in Z. 9 *ὅσα κ' ἀπολίπωντι*, 2100, 16 *ὅσα κα ἀπολίπωνται*. Hatte das Formular nicht ein und dieselbe Verbalform?

Zeit. Priesterschaft XVI (in der Zeit von 50—1).

2151 *Pomtow* (3): *C.-B.* 96.

Ἄρχοντος Στράτωνος τοῦ Ἰατάδα, | βουλευόντων Νεικία, Κλεομάντιος, Ἐράτωνος, | ἀπέδοτο Μενέμαχος, συνευ(α)ρεστεόντων καὶ τῶν υἱῶν αὐτοῦ | Μενάνδρου καὶ Ἰραναίου, τῶι Ἀπόλλωνι τῶι Πυθίωι κοράσιον ἇι ὄ||νομα Σωτηρὶς τὸ γένος Βωτάν, τειμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ | τὰν τειμὰν ἀπέχει πᾶσαν, καθὼς ἐπίστευσε Σωτηρὶς τῶι θεῶι τὰν ὠνάν. | βεβαιωτήρ· Δάμων Μένητος. παραμεινάτω δὲ Σωτηρὶς Φιλοῖ ἕως κα ζῆι ποιοῦ|σα πᾶν τὸ ἐπιτασσόμενον τὸ δυνατόν. εἰ δὲ μὴ ποιῆι, ἐξουσίαν ἐχέτω Φιλὼ | ἐπιτειμέουσα τρόπωι ὧι κα θέλῃι. ἐπεί κα δέ τι πάθῃι Φιλώ, ποιησάτω || τὰ ποτὶ γᾶν πάντα Σωτηρὶς | καὶ ἐλευθέρα ἔστω μηθενὶ μηθὲν ποθήκουσα. εἰ δέ τις ἐφάπτοιτο Σωτηρίος ἐπὶ καταδουλισμῶι, κύριος ἔστω ὁ παρατυχὼν συλέων καὶ ὁ βεβαιωτὴρ | βέβαιον παρεχέτω τῶι θεῶι τὰν ὠνάν. μάρτυροι· οἵ τε ἱαρεῖς τοῦ Ἀπόλλωνος | Λαιάδας καὶ Νικόστρατος.

C.-B. Z. 3 *συνευρεστεόντων*. — 5 *Βωτάν*, auch 2212 Ethnikon. Als Name 2195 gebraucht. — *Φιλώ* ist gewiss die Frau des Freilassers. — 10 *τὰ ποτὶ γᾶν πάντα* wie 2100, 15; 2150, 9. — 13 nach *τε* fehlt *καί*, vgl. 2150, 15. — Feminine Namen auf *-ις* werden verschieden flektiert: *-ίς*, *-ίδος*, *-ίδα* und *-ις*, *-ιδος*, *-ιν* (z. B. in No. 1839), aber auch *-ις*, *-ιος*, *-ιν*, wie oben (vgl. 1697 u. 2031). Soll man dies durch die Betonung *Σωτηρίς* und *Σώτηρις* zum Ausdruck bringen? — Z. 1 fehlt der Monat.

Zeit. Priesterschaft XVI (in der Zeit von 50—1).

2152 *Pomtow* (4): *C.-B.* 78.

Ἄρχοντος Φιλονίκου, βουλευόντων Εὐκλείδα, Πά|τρωνος, Δάμωνος, Στράτωνος, ἀπέδοντο Τιμόξενος | καὶ Προξενία, συνευδοκέοντος καὶ τοῦ υἱοῦ αὐτῶν | Κοσίμου, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα γυναικεῖα ‖ αἷς ὀνόματα Ἀφροδισία καὶ Ὀνησίφορον, τιμᾶς | ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τιμὰν ἀπέχοντι πᾶ|σαν. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Κλέων | Κλεοδάμου, καθὼς ἐπίστευσαν τῶι θεῶι τὰν ὠνὰν Ἀφροδισία καὶ Ὀνησίφορον, ἐφ' ὧιτε ἐλευθέρας εἶμεν ‖ καὶ ἀνεφάπτους τὸν πάντα βίον. εἰ δέ τις ἐφάπτοιτο ἐπὶ | καταδουλισμῶι, βέβαιον παρεχέτωσαν τῶι θεῶι τὰν ὠνὰν | οἵ τε ἀποδόμενοι καὶ ὁ βεβαιωτήρ. ὁμοίως δὲ καὶ ὁ παρα|τυχὼν κύριος ἔστω συλέων ὡς ἐλευθέρας. μάρτυροι· ὅ τε | ἱαρεὺς τοῦ Ἀπόλλωνος Ἐμμενίδας· Σάτυρος, Φίλων, [Δρομο]‖κλείδας.

Den Namen *Κόσι-μο-ς* (4) hat man mit *Κόσι-ς* 1816, 7 zusammenzuhalten. Vgl. *Κόσων*, Akarnanier, Kabbadias Fouilles d'Epid. 244, 17. — 13 *τέ* ohne folgendes *καί*, vgl. 2150, 15. — Z. 1 fehlt der Monat.

Zeit. Priesterschaft XIV (in der Zeit von 100—50).

2153 *Pomtow* (5): *C.-B.* 53.

Ἄρχοντος Κλευδάμου τοῦ Πολυκράτεος μηνὸς Ἐνδυσ|ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Κρατὼ Νικοδάμου τῶι | Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Χρυσηΐς | τὸ γένος ἐνδογενῆ, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καὶ ‖ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Χρυσηΐς τὰν ὠ|νὰν τῶι θεῶι, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος | ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιοῦσαν ὅ κα θέλῃ | καὶ ἀποτρέχουσαν οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τοὺς | νόμους τᾶς πόλιος· Ἁγίων Κλεοδάμου. εἰ δέ τις ἅπτοιτο ‖ Χρυσηΐδος ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων | τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα Κρατὼ καὶ ὁ βεβαιωτὴρ Ἁγίων. εἰ δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι, πρά|⟨πρα⟩κτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλι|ος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων ‖ συλέοντες Χρυσηΐδα ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμι|οι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρ|τυρες· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄρχων καὶ ὁ νεωκό|ρος Μένης καὶ ὁ ἄρχων Ἁγίων Πολυκλείτου, ἰδιῶται Ἁγί|ων Κλευδάμου, Ξενέας Βαβύλου. ἁ ὠνὰ παρὰ τὸν θεὸν ‖ ἐν ναῷ. παραμεινάτω δὲ

Χρυσηΐς παρὰ Κρατὼ ἕως κα ζώηι | Κρατὼ ποιοῦσα τὸ ποτιτασσόμενον πᾶν.

Wegen des Construktionswechsels in *ποιοῦσαν* Z. 7 vgl. 1911, 7; 2222, 9. — Der Bürge ist als erster Privatzeuge aufgeführt; s. 1922. — Z. 12/13 *C.-B.* ⟨*πρα*|⟩ *πράκτιμοι*. — Zu 19/20 vgl. 1705, 17: was hier *ἐν ναῶ* heisst, bezeichnet dort *παρὰ Μένητα*. — *Κλεό-* und *Κλεύ-δαμος* wechseln bei derselben Person (Z. 9, 19); vgl. 2198.

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2154 *Pomtow* (6): *C.-B.* 54.

Ἄρχοντος Κλευδάμου τοῦ Πολυκράτεος μηνὸς Ἰλαί|ου, βουλευόντων τὰν δευτέραν ἑξάμηνον Ἁγίωνος | τοῦ Πολυκλείτου, Μνασιθέου τοῦ Διοδώρου, γραμ|ματεύοντος Κλευδάμου τοῦ Μαντία, ἐπὶ τοῖσδε ἀπέδο|το Ἀντίφιλος, συνευδοκέοντος καὶ τοῦ υἱοῦ αὐ|τοῦ Βάττου, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖ|ον ἇι ὄνομα Ἀθηναΐς τὸ γένος Γαλάτισσαν, τεχνῖτιν, καὶ | τὸν υἱὸν αὐτᾶς Ἀπολλόδωρον, ἀργυρίου μνᾶν ὀκτώ, καὶ | τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Ἀθηναΐς καὶ Ἀπολ||λόδωρος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρους εἶμεν | καὶ ἀνεφάπτους ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιέον|τας ὅ κα θέλωντι καὶ ἀποτρέχοντας οἷς κα θέλωντι. βε|βαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Ἄθαμβος Ἁβρομάχου. | εἰ δέ τις ἅπτοιτο Ἀθηναΐδος ἢ Ἀπολλοδώρου ἐπὶ καταδουλισ||σμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδό|μενος Ἀντίφιλος καὶ ὁ βεβαιωτὴρ Ἄθαμβος. εἰ δὲ μὴ παρέχοιν | βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν | νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | κύριοι ἐόντων συλέοντες Ἀθηναΐδα καὶ Ἀπολλόδωρον || ὡς ἐλευθέρους ἐόντας ἀζάμιοι ἐόντες | καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμί|ας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Δρομο|κλείδας, Ἄρχων καὶ ὁ νεωκόρος Μένης καὶ οἱ ἄρχον|τες Ἁγίων, Μνασίθεος, Κλεύδαμος καὶ ἰδιῶται Ἄθαμ||βος Ἁβρομάχου, Κλεύδαμος Πολυκράτεος, Δάμων | Ξενοστράτου, Εὐκλείδας Κάλλωνος, Τιμόκριτος, | Δαμοσθένης, Δαίδαλος.

Z. 7 *Γαλάτισσα* ungewöhnliche Femininform. Wegen *τεχνῖτις* s. 2177, 7. — Unter den Privatzeugen steht zuerst der Bürge, dann der *ἄρχων ἐπών°*. — 7 u. 9 *Ἀθηναΐς*, 14 u. 15 *Ἀθηναΐς*, vgl. 2110 *Ἡραΐς*, 2124 *Ἡραΐς*.

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2155 *Pomtow* (7): ders. Jhrb. 35, 522. *C.-B.* 76.

Ἄρχοντος Διοδώρου, βουλευόντων τὰν δευτέραν ἑξά|μηνον

Σωτύλου ⟨τὰν⟩ τοῦ Σωστράτου, Καλλιδάμου τοῦ | Ἀμφιστράτου, γραμματεύοντος δὲ βουλᾶς Φιλονίκου τοῦ | Μενεδάμου, ἀπέδοτο Φιλόνικος Μενεδάμου, συνευδο‖κέοντος καὶ τοῦ υἱοῦ Μενεδάμου, τῶι Ἀπόλλωνι τῶι Πυθί|ωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Διονυσόδωρος τὸ γένος | Σύρον, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τιμὰν ἔχει πᾶ|σαν, καθὼς ἐπίστευσε Διονυσόδωρος τῶι θεῶι τὰν ὠνάν, | ἐφ' ὧιτε ἐλεύθερον εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν ‖ πάντα χρ[(ό)]νον, ποιοῦντα ὅ κα θέλη καὶ ἀποτρέχοντα οἷς κα | θέλη. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Κλέων Ἥρυος. | εἰ δέ τις ἐφάπτοιτο Διονυσοδώρου ἐπὶ καταδουλισμῶι, βέ|βαιον παρεχόντων τῶι θεῶ τὰν ὠνὰν ὅ τε ἀποδόμενος καὶ | ὁ βεβαιωτήρ. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων ‖ συλέοντες Διονυσόδωρον ὡς ἐλεύθερον ὄντα ἀζάμιοι ὄντες | καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πατρέας καὶ Ἁγίων καὶ οἱ ἄρχοντες Σωτύλος, Καλλίδαμος καὶ ἰδιῶται Κλέων Δαμοσθένεος, Νικίας Κλέ|ωνος, Ἀλκέτας.

Z. 1. „Der Monat ist wohl durch Nachlässigkeit des Schreibers ausgefallen". Pomtow. — 2 *C.-B.* ohne ⟨*τὰν*⟩, was, wie Pomtow angiebt, der Steinmetz selbst zu tilgen suchte. — 4/5 *C.-B. συνευδοκέ|οντος.* — 9 *C.-B. ἐφ' ὦ τε* ohne Jota. — 10 Stein ΧΡΩΝΟΝ, Pomtow *χρ[ό]νον*, *C.-B. χρόνον.* — 10 und 11 *C.-B. θέληι.* — 13 *C.-B. τῶι θεῶι.* — 14 in *παρατυγχάνοντες* ist *γ* über der Zeile nachgetragen. — 14 Schluss *C.-B. ἐόντω.* — Z. 17/18 fehlt der 3. Buleut, weil er der Freilasser ist.

Zeit. Priesterschaft XI (etwa 100 vor Chr.).

2156 *Pomtow* (8): ders. Jhrb. 35, 533. *C.-B.* 103.

Ἄρχοντος Αἰακίδα τοῦ Εὐκλείδα μηνὸς Ποιτροπίου, βουλευόντων Διοδώ|ρου τοῦ Φιλονείκου, Ἀθανίωνος τοῦ Κλεοξενίδα, Φίλων Στράτωνος ἀπέδοτο τῶ Ἀπόλλωνι τῶ Πυθίω ἐπ' ἐλευθερία σώματα οἷς ὀνόματα Στέφανος, | Εὐκλείδας, Κτῆμα, Μόσχιον, τειμᾶς ἕκαστον ἀργυρίου μνᾶν τριῶν, καὶ | τὰν τειμὰν ἀπέχει πᾶσαν. βεβαιωτῆρες κατὰ τοὺς νόμους τᾶς πόλι|ος· Θέξενος Φιλαιτώλου ὁ καὶ Βαβύλου, Λέων Ξενοφάντου, ὥστε μηθε|νὶ ποθήκειν αὐτοὺς κατὰ μηθένα τρόπον, ἀλλ' εἶμεν αὐτοὺς ἐλευθέρους | καὶ ἀνεπάφους τὸν πάντα χρόνον ἀπὸ πάντων, καθὼς ἐπίστευσαν | τῶ θεῶ τὰν ὠνὰν Στέφανος καὶ Εὐκλείδας καὶ Κτῆμα καὶ Μόσχιον. εἰ δὲ ‖ τις ἐφάπτοιτο ἐπὶ καταδουλισμῶ τῶν προγεγραμμένων, βέβαιον πα|ρεχόντω τῶ θεῶ τὰν ὠνὰν ἐπ' ἐλευθερία οἵ τε βεβαιωτῆ-

ρες καὶ ἄλ|λος ὁ παρατυχὼν ἐξουσίαν ἔχων ἐν ἐλευθερίαν ἀφαιρεῖσθαι. παραμει|νάτωσαν δὲ Στέφανος καὶ Εὐκλείδας καὶ Κτῆμα καὶ Μόσχιον Φίλωνι καὶ | Εὐαμέρει, τᾶ Φίλωνος γυναικί, πάντα τὸν τᾶς Φίλωνος καὶ Εὐαμέριος ‖ ζωᾶς χρόνον, ὑπηρετέοντες καὶ ποιοῦντες πᾶν τὸ δυνατὸν καὶ ἐπι|τασσόμενον ὑπὸ Φίλωνος καὶ Εὐαμέριος. εἰ δὲ μὴ παραμείναιεν ἢ μὴ | πειθαρχέοισαν, ἐξουσίαν ἐχέτωσαν Φίλων καὶ Εὐάμερις ἐπετειμέοντες | τῶμ (μ)ὴ πειθαρχεόντων καὶ μαστειγοῦντες καὶ διδέντες καὶ ἐγμισθοῦν|τες τὰν ἐργασίαν τοῦ μὴ παραμένοντος. χωρὶς πράσιος ἔστωσαν ‖ δὲ τὰ προγεγραμμένα σώματα πρὸ τοῦ τελευτᾶν Φίλωνα καὶ Εὐάμεριν, ἀ|πολελυμένα τᾶς παραμονᾶς πρὸ ἀμερᾶν τριάκοντα. τὸ ἀντίγραφον ἐτέθη τᾶς | ὠνᾶς ἐν τὰ δαμόσια γράμματα. μάρτυρες· οἵ τε ἱερεῖς τοῦ Ἀπόλλωνος Διόδωρος | Φιλονείκου, Πολέμαρχος Δάμωνος· Ἀριστοκλέας Φιλονείκου, Αἰακίδας | Εὐκλείδα, Νικάνωρ Λυσιμάχου, Διόδωρος Ὀρέστα, Λυσίμαχος Νικάνορος, Ξεν‖[α]γόρας Ἁβρομάχου, Πρόθυμος Ἡρακλείδα.

Genaue Nachbildung der Inschrift bei Pomtow a. a. O.

Derselbe Freilasser in 2323.

Z. 3 *P.* τῶ (zweimal), *Πυθίω* und *ἐλευθερία*, *C.-B.* viermal Jota zugefügt. — 6 *P.* *Θε(ό)ξενος*, Philol. 54, 235, Anm. 41 *Θεύξενος*, *C.-B.* *Θέξενος*. — 9 *P.* *τῶ θεῶ*, *C.-B.* *τῶι θεῶι*. — 10 *P.* *καταδουλισμῶ*, *C.-B.* °*μῶι*. — *C.-B.* geben *βέ|βαιον* als Zeilenwende statt *βέβαιον πα|ρ°*. — 12 *P.* *τῶ θεῶ*, *ἐλευθερία*, *C.-B.* haben 3mal Jota zugesetzt. — 12 *P.* *ἐν ἐλ°*, *C.-B.* *ἐπ' ἐλ°*. — 14 *P.* *τᾶ*, *C.-B.* *τᾶι*. — 15 *P.* *ζωᾶς*, *C.-B.* *ζωῆς*. — 18 *P.* *τῶ(μ) μὴ πειθαρχεόντων*, *C.-B.* *τό(ν) μὴ πειθαρχέοντα*. — 20 *C.-B.* *δέ* weggelassen. 21 *C.-B.* setzen nach *παραμονᾶς* Interpunktion. — 22 *C.-B.* *δημόσια*. — 24 *C.-B.* *Ξενα γόρας*.

Bemerkenswert, dass der Priester der 1. Buleut zugleich ist. — Die Betonung *Κτῆμα* (Z. 4) erweist 2157, 4. — Die Form *Θέ-ξενος* (Z. 6) habe ich belassen, weil beide Abschriften darauf weisen, vgl. über solche Formen Vf. St. I, 134. Sonst ist *κατὰ υἱοθεσίαν* zwischen die 2 Genitive gesetzt, vgl. z. B. 2219, 5/6. — 8 Statt *ἀν-έφ-απτος* hier (und 2157, 5) *ἀν-έπ-αφ-ος*, vgl. *ἀφή* und *ἀφάω*, *ἀφάσσω*. — Zur Flexion von *Εὐάμερις* vgl. 2031, 2317. — 14/15 Schon vor dem Tode der Freilasser erhalten sie die Freiheit nach 2157. — Mit *διδέντες* Z. 18 vgl. 2216 *διδεῖσα* u. 2171. — Zu *ἐγ-μισθοῦντες* (Z. 18) vgl. *ἐγδιδαξάτω* 1878, 17. — Statt der gewöhnlichen Formel beim Verbote des Verkaufs (vgl. z. B. 2163, 27) hier Z. 19/20 ein ganzer Satz. Wegen der Frist von 1 Monate (Z. 21) s. 2157, 2 *καὶ μηνὸς Ἀμαλίου*. — 22 Das Stadtarchiv erwähnt auch 2322, 18. Nach *τὲ* fehlt *καί*, s. 2150, 15; 2151, 13. — 22 Die Namensform *Ἀριστοκλέας* auch 2223, 6; s. ferner 2115, 2. — Der 2. Privatzeuge ist der *ἀρχ. ἐπών°*. Vgl. 2157, 8.

Zeit. Priesterschaft XXI (kurz nach Chr. Geburt).

2157 *Pomtow* (9): *C.-B.* 105.

Ἐπὶ δὲ ἄρχοντος Ξεναγόρα τοῦ Ἁβρομάχου | καὶ μηνὸς Ἀμαλίου, ἀπέλυσε Φίλων Στράτωνος | καὶ Εὐάμερις Προστατήρου Στέφανον, Εὐκλεί|δαν, Κτῆμαν, Μόσχιον τᾶς παραμονᾶς, ὥστε κα||τὰ πᾶν αὐτοὺς ἐλευθέρους εἶμεν καὶ ἀνεπάφους | ἀπὸ πάντων. μάρτυρες· οἵ τε ἱερεῖς τοῦ Ἀπόλλωνος | Διόδωρος Φιλονίκου, Πολέμαρχος Δάμωνος καὶ ἰ|διῶται Νικάνωρ Λυσιμάχου, Ξεναγόρας Ἁβρομά|χου, Μελισσίων Διονυσίου.

Die Urkunde ist ein Nachtrag zu No. 2156; daher *δὲ* im Anfange, vgl. 2220. — Der Monatsname mit *καὶ* angefügt wie 1816, 1; 1927, 2; 1928, 3. — Wegen *ἀνεπάφους* s. 2156, 8. — Der 2. Privatzeuge ist der *ἄρχ. ἐπών.* Vgl. 2156, 23 und 2185, 21.

Zeit. Priesterschaft XXI (kurz nach Chr. Geburt).

2158 *Pomtow* (10): ders. Jhrb. 35, 525. *C.-B.* 99.

Ἄρχοντος Εὐκλείδα μηνὸς | Δαιδαφορίου, βουλευόντων Ἐράτωνος, Βαβύλου, Σωτύλου, ἀπέ|δοτο Ἀνβρόσιον τῶι Ἀπόλλωνι τῶι || Πυθίωι σώματα δύο, ἓν μὲν | γυναικεῖον, ἓν δὲ ἀνδρεῖον, | οἷς ὀνόματα Σωσίνικος καὶ | Πίστις, τιμᾶς ἀργυρίου μνᾶν δέ|κα, καὶ τὰν τιμὰν ἔχει ⟨. . . .⟩ πᾶσαν. || βεβαιωτὴρ κατὰ τοὺς νόμους | τᾶς πόλιος· Πολέμαρχος Δάμωνος, | ἐφ' ὦτε εἶμεν ἐλευθέρους καὶ ἀνεφάπτους ἀπὸ πάντων τὸν πάντα βίον. παραμινάτωσαν δὲ Ἀν||βροσίω Σωσίνικος καὶ Πίστις ἕως κα | ζῆ ποιοῦντες τὸ ἐπιτασσόμενον πᾶν. | εἰ δὲ μὴ ποέοισαν, ἐξουσίαν ἐχέτω | Ἀνβρόσιον ἐπιτιμέουσα τρ[ό]πω, ὧ κα θέλη | πλὰν μὴ πωλέουσα. εἰ δέ τι ἀνθρώπινον γέ|νοιτο περὶ Ἀνβ(ρ)όσιον, ἔστωσαν τὰ προ|γεγραμ(μ)ένα σώματα ἐλεύθερα καὶ μη|θενὶ ποθήκοντα. εἰ δέ τις ἐφάπτοιτο Σω|σινίκου ἢ Πίστιος ἐπὶ καταδουλισμῶ, | βέβαιον παρεχόντω τῶ θεῶ τὰν ὠ||νὰν ἅ τε ἀποδομένα καὶ ὁ βεβαιωτήρ. | ὁμοίως δὲ καὶ ὁ παρατυχὼν κύριος | ἔστω συλέων Σωσίνικον καὶ Πί|στιν ἐπ' ἐλευθερία ἀζάμιος ὢν | καὶ ἀνυπόδικος πάσας δίκας καὶ || ζαμίας. μάρτυροι· οἱ ἱερεῖς Νικό|στρατος, Ξενόκριτος | καὶ ἰδιῶται Κλέων, Νικίας, Δημή|τριος.

Genaue Nachbildung des Textes bei Pomtow S. 525.

Z. 8 das *ς* von *Πίστις* steht über der Zeile, so auch Z. 11 *ολ* von *Πολέμαρχος*, 18 *ον* von *Ἀνβρόσιον*, 19 *δὲ* nach *εἰ*, 32 *διω* von *ἰδιῶται*. — Z. 12 *P. ἐφ' ὦτε*, *C.-B. ἐφ' ὧιτε*; 14/15 *P. Ἀν βροσίω*, *C.-B.* °*σίωι*; 16 *P. ζῆ*, *C.-B. ζῆι*; 17 *P. ποέοισαν*, *C.-B. ποιέοισαν*; 18 *P. τρ[ό]πω ὧ κα θέλη*, *C.-B. τρόπωι ὧι κα θέληι*; 20 *P.* in Majuskel ΑΝΒΟΣΙΟΝ, in

Minuskel *'Ανβρόσιον*, *C.-B.* ebenso; 20/21 *P.* *προ γεγραμ(μ)ένα*, *C.-B.* *°γραμμένα*; 23 *P.* *καταδουλισμῶ*, *C.-B.* *°σμῶι*; 24 *P.* *τῶ θεῶ*, *C.-B.* *τῶι θεῶι*; 27/28 *P.* *Πί στιν*, *C.-B.* *Π ίστιν*; 28 *P.* *ἐλευθερία*, *C.-B.* *°ρίαι*: *ἰῶτα προσγεγρ.* also 11 mal v. *C.-B.* gegen die Überlieferung hinzugesetzt. — Z. 9 wurde wohl die Dittographie ⟨*ἔχει*⟩ getilgt. — Das Verbot des Verkaufs wie 2186, 22. — Die ggr. Form *Δημήτριος* (Z. 32), wie so oft, 2181, 24 u. o.

Zeit. Priesterschaft XVII (in der Zeit von 50—1). S. Pomtow, Jbrb. a. a. O.

2159 *Pomtow* (11): *C.-B.* 68.

Ἄρχοντος Ἀτεισίδα μηνὸς Θευξενίου, βουλευόντων τὰν δευτέ|ραν ἑξάμηνον Ἀναξανδρίδα, Νικαρέτου, γραμματεύοντος δὲ Καλ|λίκωνος, ἐπὶ τοῖσδε ἀπέδοτο Ξενὶς Μενεστράτου, συνευδοκέ|οντος δὲ καὶ τοῦ ἀνδρὸς αὐτᾶς Καλλείδα τοῦ Εὐκλείδα καὶ τῶν υἱῶν αὐ|τᾶς Εὐκλείδα, Μενεστράτου, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖ|ον ὧι ὄνομα Σώσιππος τὸ γένος οἰκογενῆ, τιμᾶς ἀργυρίου μνᾶν | ὀκτώ, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Σώσιππος τῶι | θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε εἶμεν ἐλεύθερος καὶ ἀνέφαπτος. βεβαι|ωτήρ· Εὐκλείδας Καλλείδα. εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι ‖ Σωσίππου, βέβαιον παρεχέτω τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀποδομέ|να Ξενὶς καὶ ὁ βεβαιωτὴρ Εὐκλείδας. κύριος δὲ ἔστω ὁ παρα|τυχὼν συλέων Σώσιππον ὡς ἐλεύθερον ἐόντα ἀζάμιος ἐὼν καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. παραμεινάτω δὲ | Σώσιππος παρὰ Ξενίδα καὶ Καλλείδαν μέχρι οὗ κα ζῶντι ποι‖ῶν τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως. εἰ δὲ μὴ | ποιῆι ἢ μὴ παραμένηι παρὰ Ξενίδα καὶ Καλλείδαν καθὼς γέγραπται, | κύριοι ἐόντων ἐπιτιμέοντες τρόπωι ο(ἷ) κα θέλωντι, καὶ ἄλλος | ὅν κα κελεύωντι Ξενὶς καὶ Καλλείδας κύριος ἔστω ἐπιτιμέων | πλὰν μὴ πωλέοντες. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος ‖ Ἄθαμβος Ἁβρομάχου καὶ ὁ νεωκόρος Ἀτεισίδας καὶ ὁ ἄρ|χων Νεικάρετος· Λαιάδας, Ταραντῖνος, Θεύλυτος.

Die Freilasserin ist dieselbe wie die in 2018. Ihr Sohn ist Bürge. — Z. 15/16 habe ich in der *πρότασις* ⟨*κα*⟩ nicht eingesetzt, weil auch anderwärts *εἰ* + conj. mit *εἰ* + opt. wechselt (2019, 11; 2216, 18; 2205, 9). — Z. 17 geben *C.-B.* *τρόπωι ὅ κα θέλωντι*. Das ist unmöglich. Üblich ist *ὧι κα*. Wahrscheinlich steht auf dem Steine OI, und *C.-B.* übersahen die Hasta des Jota. Vgl. 2019, 12 *οἷ κα θέληι τρόπωι*. — Zum Verbote des Verkaufs (Z. 19) s. 2186, 22.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

2160 *Pomtow* (12): *C.-B.* 75.

Ἄρχοντος Ἁγίωνος μηνὸς Βουκατίου, ἀπέδοτο Ἄρχων | Καλλία τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον | παιδάριον ὧι ὄνομα Νικασίβουλος, συνευδοκέοντος | καὶ τοῦ υἱοῦ αὐτοῦ Διοδώρου, τιμᾶς ἀργυρίου μνᾶν δύο ‖ καὶ ἡμιμναίου, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. παραμεινά|τω δὲ Νικασίβουλος παρὰ Ἄρχωνα ἔτη τρία, δουλεύ|ων καθὼς καὶ ὥς. ἅμα δέ κα διεξέλθηι ὁ χρόνος ὁ γε|γραμμένος, ἐλεύθερος ἔστω Νικασίβουλος καὶ ἀνέφαπτος, ποιῶν ὅ κα θέληι καὶ ἀποτρέχων οἷς κα ‖ θέληι. εἰ δέ τις ἐφάπτοιτο Νικασιβούλου ἐπὶ κα|ταδουλισμῶι, κύριος ἔστω ὁ παρατυχὼν | συλέων, καὶ ὁ βεβαιωτὴρ βεβαιούτω τῶι θεῶι. | ἄρχει τοῦ χρόνου τῶν τριῶν ἐτέων ὁ μὴν Βοα|θοῖος ὁ ἐπὶ τᾶς Ἁγίωνος ἀρχᾶς. βεβαιωτήρ· Νικό‖στρατος Εὐδώρου. μάρτυροι· Ἄθαμβος Ἁβρομά|χου καὶ οἱ ἄρχοντες Τιμοκλῆς Θρασέα, Ξένων Ἀρι|στοβούλου, ἰδιῶται Ξένων Ξενοκρίτου, Κλέων Δι|ονυσίου, Μεγάρτας, Ἁγίων Ἐχεφύλου, Ἀτεισίδας, | Πεισίστρατος.

Z. 7 h. *καὶ ὥς* „auch so schon" (sc. *ἐδούλευε*), wie 1832, 11 (s. zu der Stelle S. 287). — Wenn wir an Verbindungen wie *ἅμα* mit Particip, *ἅμα τῷ* mit Infinitiv denken, wird die conjunktionelle Verwendung in *ἅμα-κα* mit Conj. (Z. 7) klar. Damit parallel steht 1843, 18 *ἐπεὶ δέ κα διεξέλθῃ*. — Z. 13. Solche Fristbestimmungen für die Paramona begegnen öfters, z. B. 1696, 11; wie hier, der nächste Erste des Monats 1843, 15. — Der Bürge ist der eine Archont. — Nur ein Priester ist genannt, weil der andere der Freilasser ist (so auch 2163). Ähnlich 2155.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

2161 *Pomtow* (13): *C.-B.* 74.

Ἄρχοντος Ἁγίωνος μηνὸς Ποιτροπίου τοῦ δευτέρου, βουλευόντων τὰν | πρώταν ἑξάμηνον Ξένωνος, Νικοστράτου, γραμματεύοντος δὲ Τιμοκλέος τοῦ Θρασέα, ἀπέδοτο Μαντίας Κλεοδάμου, συνευδοκεόντων καὶ | τῶν υἱῶν αὐτοῦ Ἁβρομάχου, Κλεοδάμου, τῶι Ἀπόλλωνι σῶμα γυναικεῖ‖ον οἰκογενὲς ἆι ὄνομα Ζωπύρα, τιμᾶς ἀργυρίου μνᾶν τ[εσσάρω]ν, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Ζωπίρα τὰν [ὠνὰν] τῶι θε|ῶι, ὥστε ἐλευθέραν εἶμεν τὸν πάντα χρόνον. εἰ δέ τις ἐφάπτοιτο | Ζωπύρας ἐπὶ καταδουλισμῶι, κύριος ἔστω ὁ παρατυχὼν συλέων ὡς | ἐλευθέραν ἐοῦσαν καὶ ἀνέφαπτον τὸν πάντα χρόνον. βεβαι‖ωτῆρες κατὰ τοὺς νόμους τᾶς πόλιος· Ἁβρόμαχος Μαντία, Κλεό[δαμος] Μαντία. μάρτυροι· Ἄγων

Ἀριστίωνος, Λαιάδας, Δάμων Ἀ|[....]ς, Δάμων Διονυσίου, Ἐράτων, Χρήσιμος, Ἀλέξαν|[δρος, Ἀρι]στίων Πολεμάρχου, Βαβύλος Ζηνέα.

Die Söhne des Freilassers übernehmen die Bürgschaft. — Z. 11/12. Pomtow giebt Jhrb. 35, 527 Anm. 16 die Lücke so: Δάμων Α|....Σ und lässt die Ergänzung offen; denn es bleibe ungewiss, ob Ἀ[γάθωνο]ς oder Ἀ[νδρομένεο]ς — was zu lang ist — oder wie sonst zu ergänzen sei. *C.-B.* Ἀ|[γάθωνο]ς.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

2162 *Pomtow* (14): *C.-B.* 62.

Ἄρχοντος Ὑβρία τοῦ Ξένωνος μηνὸς Ποιτρο|πίου, βουλευόντων τὰν πρώταν ἑξάμηνον Ἡρα|κλείδα τοῦ Καλλία, Ξεναινέτου τοῦ Σωσινίκου, | γραμματεύοντος δὲ Καλλικράτεος τοῦ Διο|δώρου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀγάθων Εὐάρ|χου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρῆ|ον ὧι ὄνομα Δωρίων τὸ γένος ἐνδογενῆ, τει|μᾶς ἀργυρίου μνᾶν τεττάρων καὶ ἡμιμναίου, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευ||σε Δωρίων τῶι θεῶι τὰν ὠνάν. βεβαιωτῆρες | κατὰ τὸν νόμον τᾶς πόλιος· Ἀντιγένης Διο|δώρου, Κλέων Διονυσίου. καθὼς ἐπίστευσε | Δωρίων τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος | εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, || ποιέων ὅ κα θέληι καὶ ἀποτρέχων οἷς κα θέληι. | εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι Δωρίω|νος, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ | τε ἀποδόμενος Ἀγάθων καὶ οἱ βεβαιωτῆρες Ἀντι|γένης Διοδώρου, Κλέων Διονυσίου. εἰ δὲ μὴ || παρέχοιν τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι | ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ | οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες | Δωρίωνα ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ἐόντες | οἱ συλέοντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζα|μίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄρχων | Καλλία, Ἄθαμβος Ἁβρομάχου καὶ οἱ ἄρχοντες | Ἡρακλείδας Καλλία, Ξεναίνετος Σωσινίκου, | Καλλικράτης Διοδώρου καὶ ἰδιῶται Τιμόκριτος | Εὐκλείδα, Φιλιστίων Ἄνδρωνος, Χάρης Πασίωνος, || Καλλίστρατος Ἀθανίωνος.

Wegen ἀνδρῆον Z. 6 vgl. 1785, 4; 2250, 6; wegen τεττάρων Z. 8 vgl. 2164, 8.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

2163 *Pomtow* (15): *C.-B.* 28.

Ἄρχοντος Δαμοστράτου μηνὸς Ἐνδυσποιτρο|πίου, βουλευόν-

των τὰν δευτέραν ἑξάμηνον Ἀθάμβου | τοῦ Ἀβρομάχου, Γλαύκου τοῦ Ξένωνος, γραμματεύον|τος δὲ Σωξένου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀνδρόνικος Φριχίδα ‖ τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Εὐτα|ξία τὸ γένος Μαιῶτιν, ἀργυρίου μνᾶν τριῶν, καὶ τὸν υἱὸν αὐ|τᾶς Παρνάσιον τὸ γένος οἰκογενῆ, τιμᾶς ἀργυρίου μνᾶν | δύο, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Εὐταξία | καὶ Παρνάσιος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθεροι εἶ‖μεν καὶ ἀνέφαπτοι ἀπὸ πάντων τὸν πάντα βίον, | ποιέοντες ὅ κα θέλωντι καὶ ἀποτρέχοντες οἷς κα | θέλωντι. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Μένης | Π[ι]σιστράτου. εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι Εὐ|ταξίας ἢ Παρνασίου, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠ‖νὰν ὅ τε ἀποδόμενος Ἀνδρόνικος καὶ ὁ βεβαιωτὴρ Μένης. | εἰ δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι | ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ πα|ρατυγχάνοντες κύριοι ἐόντων συλέοντες Εὐταξίαν καὶ | Παρνάσιον ὡς ἐλευθέρους ἐόντας ἀζάμιοι ἐόντες καὶ ἀνυ‖πόδικοι πάσας δίκας καὶ ζαμίας. παραμεινάτω δὲ παρὰ Ἀνδρό|νικον Εὐταξία καὶ Παρνάσιος ἄχρι οὗ κα ζώηι Ἀνδρόνικος ποι|έοντες τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως. | εἰ δὲ μὴ ποιέοιν ἢ μὴ παραμένοιν παρὰ Ἀνδρόνικον καθὼς | γέγραπται Εὐταξία καὶ Παρνάσιος, κύριος ἔστω Ἀνδρόνι‖κος καὶ ἄλλος ὑπὲρ Ἀνδρόνικον ὅν κα Ἀνδρόνικος κελεύ|σηι ἐπιτιμέοντες Εὐταξίαν καὶ Παρνάσιον τρόπωι ὧι κα αὐ|τοὶ θέλωντι, πλὰν μὴ πωλέοντες. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Πραξίας καὶ οἱ ἄρχοντες Ἄθαμβος, Γλαῦκος, | Σώξενος καὶ ἰδιῶται Εὐκλείδας Καλλείδα, Μένης, Τιμόκρι‖τος, Δρόμων, Ἀντίφιλος.

Z. 27 ist nur ein Priester Zeuge; das hat hier darin seinen Grund, dass der andre Freilasser ist (so auch 2160, 2242). — Das Verbot des Verkaufs (Z. 27) auch 2140, 29/30; 2186, 22 u. o. — Z. 4 fehlt τοῦ Ἐχεφύλου nach *Σωξένου*, s. 1938, 4.

Zeit. Priesterschaft VI (etwa 150—140).

2164 *Pomtow* (16): *C.-B.* 23.

Ἄρχοντος Πατρέα μηνὸς Ἰλαίου, ἀπέδοτο Γενναῖος Ἡ|ράκωνος τῶι Ἀπόλλωνι σῶμα γυναικεῖον ἇι ὄνομα Θρᾶισα, | τιμᾶς ἀργυρίου μνᾶν τεττάρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, | καθὼς ἐπίστευσε Θρᾶισσα τὰν ὠνὰν τῶι θεῶι, ὥστε ἐ‖λευθέρα εἶμεν τὸν πάντα χρόνον. εἰ δέ τις ἅπτοιτο Θράισσας, κύριοι ἐόντων ὅ τε παρεντυχὼν συλέων ὡς ἐλευθέραν ἐοῦσαν

καὶ ἀνέφαπτον τὸν πάντα βίον. βεβαιωτῆρες | κατὰ τοὺς νόμους τᾶς πόλιος· Μαντίας Φιλαιτώλου, Τι|μοκλῆς Πολύωνος. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλω||νος Ἀμύντας, Ἀνδρόνικος· Μένης, Δίων Ἀλέξωνος, | Ἀντιχάρης Ἀζαράτου.

C.-B. Z. 2 *Θραῖσα*, 5 *Θραῖσσα* (so auch 2186, 7). Derselbe Eigenname z. B. 1694. — 3 *τεττάρων*, vgl. z. B. 1686, 5; 1795, 3; 1796, 2; 1878, 11; 2162, 8; 2175, 10; 2182, 8; 2183, 7; 2187, 7; 2213, 6; 2214, 7; 2215, 6. — Z. 6/7 zeigt *ὅ τε*, dass etwas fehlt, etwa *καὶ ὁ ἀποδόμενος καὶ οἱ βεβαιωτῆρες*; vgl. 2150, 15. — Nach den Priestern ist Z. 10 der Nakoros genannt, und dann 2 Privatzeugen.

Zeit. Priesterschaft V (etwa 156—151).

2165 *Pomtow* (17): *C.-B.* 48.

Ἄρχοντος Δάμωνος μηνὸς Ποιτροπίου, βουλευόντων τὰν πρώταν ἑξάμηνον Βαβύλου τοῦ Αἰακίδα, | Κλέωνος τοῦ Δαμοσθένεος, γραμματεύοντος Δίωνος | τοῦ Ἐπισθένεος, ἐπὶ τοῖσδε ἀπέδοντο Ἀμύντας καὶ Ἀντιγενίδας καὶ Νικόστρατος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶ|μα ἀνδρεῖον ὧι ὄνομα Φιλώτας τὸ γένος Μακεδόνα, τι|μᾶς ἀργυρίου μνᾶν δέκα, καὶ τὰν τιμὰν ἔχοντι πᾶσαν, | καθὼς ἐπίστευσε Φιλώτας τῶι θεῶι τὰν ὠνάν, ἐ|φ᾽ ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων || τὸν πάντα βίον, ποιέων ὅ κα θέληι καὶ ἀποτρέχων οἷς | κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Ταραν|τῖνος Μνασιθέου. εἰ δέ τις ἅπτοιτο Φιλώτα ἐπὶ καταδου|λισσμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν οἵ τε | ἀποδόμενοι Ἀμύντας καὶ Ἀντιγενίδας καὶ Νικόστρα||τος καὶ ὁ βεβαιωτὴρ Ταραντῖνος. εἰ δὲ μὴ παρέχοιν βέβαι|ον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον | τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόν|των συλέοντες Φιλώταν ἐπ᾽ ἐλευθερίαι ὡς ἐλεύθερον | ἐόντα ἀζάμιοι ἐόντες οἱ συλέοντες καὶ ἀνυπόδικοι πάσας || δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Δρομο|κλείδας, Ἄρχων καὶ οἱ ἄρχοντες Βαβύλος, Κλέων, Δίων καὶ ἰδι|ῶται Πράξων, Φίλων Φιλάγρου, Δάμων Ξένωνος, Κλεύ|δαμος Πολυκράτεος, Πολυτιμίδας Μελισσίωνος, Δάμων | Δεξώνδα, Τιμοκράτης Εὐκράτεος, Γοργίλος, Ἁγίων Πο||λυκλείτου, Λαιάδας, Ἀρτεμίδωρος, Τιμόκριτος, Ἐρά|σιππος Φιλοκράτεος.

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2166 *Pomtow* (18): *C.-B.* 56.

Ἄρχοντος Ξενοκρίτου μηνὸς Βυσίου, βουλευόν|των τὰν δευτέραν ἑξάμηνον Κλέωνος τοῦ Κλευδά|μου, Καλλικράτεος τοῦ Διοδώρου, γραμματεύον|τος Μεγάρτα τοῦ Μελισίωνος, ἐπὶ τοῖσδε ἀπέδοτο ‖ Πολύων Τιμοκλέος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶ|μα γυναικεῖον ἆι ὄνομα Ἀξίωμα τὸ γένος οἰκογε|νῆ, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τιμὰν ἔχει | πᾶσαν, καθὼς ἐπίστευσε Ἀξίωμα τῶι θεῶι τὰν ὠνάν, | ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάν‖των τὸν πάντα βίον, ποιέουσα ὅ κα θέληι καὶ ἀποτρέχου|σα οἷς κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· | Πάτρων Θρασέα. εἰ δέ τις ἅπτοιτο Ἀξιώματος ἐπὶ κατα|δουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν | ὅ τε ἀποδόμενος Πολύων καὶ ὁ βεβαιωτὴρ Πάτρων. εἰ ‖ δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτι|μοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ | οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες | Ἀξίωμα ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ | ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄρχων καὶ οἱ ἄρχοντες καὶ ἰδιῶ|ται Τιμοκλῆς Πολύωνος, Τιμόκριτος, Σωτύλος Σω|στράτου, Τιμοκλῆς | Θρασέα.

Z. 4 *Μελισίωνος*, derselbe Name desselben Mannes 2225, 6; 2256, 4 mit -σσ-. — Mit *Ἀξίωμα, Ἀξιώματος* (Z. 12) vgl. *Κτῆμα* 2156, 4, *Κτῆμαν* 2157, 4.

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2167 *Pomtow* (19): ders. Jhrb. 35, 535. *C.-B.* 87.

Ἄρχοντος Διονυσίου τοῦ | Ἀστοξένου μηνὸς Βοαθοίου, ἀ|πέλυσε Ἀμμία τᾶς παραμονᾶς Σύνφορον, λαβοῦσα λύτρα ἐκ | πολεμίων, συνπαρόντω|ν καὶ τῶν βουλευτᾶν | Ἁγίωνος τοῦ Δίωνος, | Πάτρωνος τοῦ Ἀριστοβούλου, Φιλιστίωνος ‖ τοῦ Διοκλέους, Πάτρω|νος τοῦ Ἰατάδα καὶ τῶ|ν ἱερέων Ἐμμενίδα | καὶ Λαιάδ(α) καὶ μαρτύρων | Πολυτιμίδ(α) τοῦ Ἀθ(ά)μ‖βου, [(Τ)]ί[(σ)]ωνος τοῦ | Κλεάνδρου, Φαι|νέα τοῦ Φαινέα, | Ἀπολλοδώ[ρου] | τοῦ Ἐρασ[ίπ(π)ου], ‖ Νίκωνος τοῦ | Νικαίου.

Pomtow giebt Majuskel und Minuskel. Es weichen *C.-B.* ab: Z. 13 *Λαιάδ(α)* *P.*, *Λαιάδα* *C.-B.* — 14 *Πολυτιμί(δ)α τοῦ Ἀθ(ά)μ|* *P.*, — ders. corrigiert Philol. 54, 373 Anm. 20 *Πολυτιμίδ(α) τοῦ Ἀθ(ά)μ* —, voll *C.-B.* — 15 von *C.-B.* und Pomtow *Φίλωνος τ. Κ.* gegeben, aber Philol. 54, 372 hält Pomtow *Τίσωνος τ. Κλ.* für möglich. „Für *Τίσων Κλ.* spricht die Continuität des Stemma“ — s. Tafel zu S. 372 von Philol. 54. — 18 *Ἀπολλοδώρου* *P.*, *°δώ[ρου]* *C.-B.* — 19 *Ἐρασίπ(π)ου* *P.*, *Ἐρασ[ίππου]* *C.-B.*, also das Ende von Z. 18 und 19 mag jetzt abgeblättert sein. — 20 *Νίκωνος*

P., *Νικία C.-B.* Dass *P.* Recht hat, beweist 2204, 8. — Vgl. 2168, wozu obige Urkunde ein Nachtrag ist, wie No. 1919 zu 1918; 2200 zu 2199. — Z. 4/5 Über diese Phrase s. 2172. — 10 *Διοκλέους* ggr. — 21 Nach *Νικαίου* „erscheinen auf dem Abdruck noch Reste eines Namens (etwa ΑΝΟ...), sie sind aber durchaus unsicher“ Pomtow Philol. 54, 373 Anm. 20.

Zeit. Priesterschaft XV (c. 50 vor Chr.).

2168 *Pomtow* (20): *C.-B.* 81. Vgl. dazu Pomtow Philol. 54, 220.

Ἄρχοντος Φιλονίκου, βουλευόντων Πάτρωνος, Δάμωνος, Στράτωνος, Εὐκ(λίδ)α, | ἀπέδοτο Ἀμμία Καλλιδά(μ)ου τῶι Ἀπόλλωνι | τῶι Πυθίωι ἐπ᾽ ἐλευθερίαι σῶμα γυναι|κεῖον ἇι ὄνομα Σύμφορον, συνευαρεστε‖ούσας καὶ τᾶς ματρὸς Παρθένας, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, κα|θὼς ἐπίστευσε Σύνφορον τῶι θεῶι τὰν ὠνάν, ἐ|φ᾽ ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων | τὸν πάντα βίον. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς ‖ πόλιος· Νικόστρατος Εὐδώρου. παραμινάτω | δὲ Σύνφορον Ἀμμίαι ἕως κα ζόη ποιοῦσα τὸ | ἐπιτασσόμενον πᾶν. εἰ δὲ μὴ ποῆ, ἐξουσίαν ἐχέτω ἐπιτιμέουσα τρόπωι ὧι κα θέληι. εἰ δέ τι | γένοιτο ἀνθρώπινον περὶ Ἀμμίαν, ἐλευθέρα ‖ ἔστω Σύνφορον καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον. εἰ δέ τις ἐφάπτοιτο Συνφόρου ἐπὶ καταδουλισμῶι, βέβαιον | παρεχέτω τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα καὶ ὁ βεβαιωτήρ. μάρτυροι· Σώτηρος, Ἀρχίας, ‖ Δάμων, Πάτρων, Μέντωρ.

Z. 1 *C.-B.* ohne *Εὐκ(λίδ)α*. In Priesterschaft XIV werden immer vier Buleuten genannt (vgl. 2144, 2152, 2170, 2171, 2212, 2257), so dass das Fehlen von *Εὐκλείδα* auffällig wäre. Berichtigt durch Pomtow a. a. O. — 2 *C.-B. Καλλιλάου.* — 7 *C.-B. Σύμφορον* und so überall. Nach Pomtow Z. 7 *Σύνφορον* und so „meist weiterhin“. Deshalb habe ich von 7 ab *Σύνφορον* durchgeführt. — 8 *ἐλευθέρα εἶμεν* oder °*ραν* (*ε*)*ἶμεν* lässt Pomtow offen. — 11 *C.-B. ζώηι.* — 12 *C.-B. ποιῆι.* Ferner ist, setzt Pomtow hinzu, von *C.-B.* (mit Ausnahme der letzten Zeilen) fast stets das Jota mutum adscribiert, während es in Wirklichkeit fehlt. In Bezug darauf habe ich den Text von *C.-B.* belassen. — Z. 12 für: *εἰ δὲ* [*κα*] *μὴ ποιῆι.* Vgl. 2159, 15. — 19 Der Name *Σώτηρος* auch 2204, 13. — 20 von *C.-B.* weggelassen, von Pomtow nachgetragen. — Vgl. 2167, wo ein Nachtrag zu dieser Freilassung steht: auch dort die Namensform *Σύνφορον.* — Z. 1 fehlt der Monat.

Zeit. Priesterschaft XIV (in der Zeit von 100—50).

2169 *Pomtow* (21): *C.-B.* 36.

Ἄρχοντος Δαμοσθένεος μηνὸς Δαιδαφορίου, βουλευόντων τὰν πρώταν ἑξάμηνον Τιμοκλέος | τοῦ Θρασέα, Φιλαιτώλου

τοῦ Φαίνιος, γραμματεύον|τος Ἀναξανδρίδα τοῦ Αἰακίδα, ἐπὶ τοῖσδε ἀπέδοτο Πολέ||μαρχος Πολέμωνος, συνευδοκέοντος καὶ τοῦ υἱοῦ αὐ|τοῦ Πολέμωνος, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖ|ον παιδάριον ὧι ὄνομα Βίθυς τὸ γένος οἰκογενῆ, τιμᾶς ἀργυ|ρίου τριῶν ἡμιμναίων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπί|στευσε Βίθυς τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν || καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιέων ὅ κα θέ|λῃ καὶ ἀποτρέχων οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον | τᾶς πόλιος· Δίων Φιλιστίωνος. εἰ δέ τις ἅπτοιτο ἐπὶ κατα|δουλισμῶι Βίθυος, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠ|νὰν ὅ τε ἀποδόμενος Πολέμαρχος καὶ ὁ βεβαιωτὴρ Δίων. || εἰ δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόν|των κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγ|χάνοντες κύριοι ἐόντων συλέοντες Βίθυν ὡς ἐλεύθερον | ἐόντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ | ζαμίας. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄρχων καὶ οἱ ἄρ||χοντες Φιλαίτωλος, Τιμοκλῆς, Ἀναξανδρίδας καὶ ἰδιῶται | Μηνόδοτος, Τιμόκριτος, Μένης, Χαρίξενος, Πισίθεος, Ἄ|θαμβος.

Zeit. Priesterschaft VII (in der Zeit von 140—100).

2170 *Pomtow* (22): *C.-B.* 79.

Ἄρχοντος Φιλονίκου μηνὸς Ἡρακλείου, βουλευόντων Πάτρωνος, Δάμωνος, Στρά|τωνος, Εὐκλίδα, ἀπέδοντο Πάσων καὶ Διόδωρος οἱ Ὀρέστα τῶι Ἀπόλλωνι τῶι | Πυθίωι παιδάριον ὧι ὄνομα Ἀλέξιππος ἐπ' ἐλευθερίαι, τιμᾶς ἀργυρίου μνᾶν δύο, | καὶ τὰν τιμὰν ἔχοντι πᾶσαν, καθὼς ἐπίστευσε Ἀλέξιππος τὰν ὠνὰν τῶι θεῶι, || ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον. βεβαιω|τὴρ κατὰ τοὺς νόμους· Καλλίας Εὐκλίδα. εἰ δέ τις ἐφάπτοιτο Ἀλεξίππου ἐπὶ κα|ταδουλισμῶι, βέβαιον παρεχέτωσαν τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀποδόμενοι καὶ ὁ | βεβαιωτὴρ βεβαιούτω. ὁμοίως δὲ καὶ ὁ παρατυχὼν κύριος ἔστω συλέων Ἀλέξιππον | ὡς ἐλεύθερον ἀνυπόδικος ὢν καὶ ἀζάμιος πάσας δίκας καὶ ζαμίας. μάρτυροι· || Ἀμύντας, Πάτρων, Εὐκλίδας, [Βα]βύλος, . . [.] ., Πρωτογένης.

Der 2. und 3. Zeuge sind wohl die Buleuten; *Εὐκλίδας* wird sonst immer *Εὐκλείδας* geschrieben (2144, 2152, 2171, 2212). Der Name des 5. Zeugen scheint nur 4 Zeichen gehabt zu haben.

Zeit. Priesterschaft XIV (in der Zeit von 100—50).

2171 *Pomtow* (23): *C.-B.* 80.

Ἄρχοντος Φιλονίκου μηνὸς Θεοξενίου, βουλευ|όντων Πάτρωνος, Δάμωνος, Εὐκλείδα, Στράτω|νος, ἀπέδοτο Φίλαγρος Ἀρχύτα τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα Διόκλεα τὸ γέ||νος οἰκογενές, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ | τὰν τιμὰν ἀπέχει πᾶσαν. βεβαιωτὴρ κατὰ τοὺς | [νόμους] τᾶς πόλιος· Βαβύλος. παραμεινάτω δὲ Διόκλεια [παρ]ὰ Κλεοπάτραι τῆι ματρὶ Φιλάγρου ποιοῦσα | [τὸ ἐ]πιτασσόμενον πᾶν τὸ δυνατόν, ἐξουσίαν δὲ ἐχέ||τω ἐπιτιμέουσα καὶ διδέουσα τρόπωι ὧι κα θέληι | πλὰν μὴ πωλέουσα. ἐπεί κά τι πάθοι Κλεοπάτρα, | ἐλευθέρα ἔστω Διόκλεα καὶ ὑπαγέτω πᾶι κα θέληι. | εἰ δέ τις ἐφάπτοιτο Διοκλέας ἐπὶ καταδουλισμῶι, κύρι|ος ἔστω ὁ παρατυχὼν συλέων ὡς ἐλευθέραν οὖσαν || ἀζάμι[ος] ὢν καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας καὶ ὁ | βεβαιωτὴρ βεβαιούτω. εἰ δέ τι γένοιτο ἐγ Διοκλέας | τέκνον ἐν τῶι τᾶς παραμονᾶς χρόνωι, εἴ κα μὲν θέληι ἀποπνεῖξαι Διόκλεα, ἐξουσίαν ἐχέτω, εἰ δὲ θέλοι | τρέφειν, ἔστω τὸ τρεφόμενον ἐλεύθερον. εἴ κα μὴ || αὐτὸ θέληι, πωλῆσαι δὲ τὸ γενηθέν, μὴ ἐχέτω ἐξουσίαν | Διόκλεα μηδὲ ἄλλος μηθείς. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλ|λωνος Ἐμμενίδας· Εὐάγγελος, Λαιάδας, Δάμων, | Καλλίας.

6 maligem Διόκλεα steht 1 mal Διόκλεια (Z. 7) gegenüber. — 8 τῆι, Druckfehler? — 10 Zu διδέουσα vgl. 2216 διδεῖσα; 2156, 18 διδέντες. — 11 Verbot des Verkaufs (s. unten Z. 20) wie 2186, 22. — εἰ+κὰ+opt. vgl. 2182, 14. — 12 πᾶι in diesen Urkunden selten. — Wegen ἐγ Z. 16 vgl. 1878, 17; 2118, 3. — Singulär ist die Bestimmung (Z. 18) des ἀποπνεῖξαι.

Zeit. Priesterschaft XIV (in der Zeit von 100—50).

2172 *Pomtow* (24): *C.-B.* 65.

Ἄρχοντος Σωσιπάτρου μηνὸς Ποιτροπίου, βουλευ|όντων τὰν πρώταν ἑξάμηνον Ἀντιγένεος τοῦ | Διοδώρου, Ἁγίωνος τοῦ Κλεοδάμου, γραμμα|τεύοντος δὲ Ὑβρία τοῦ Ξένωνος, ἐν δὲ Ἐρι||νεῶι ἄρχοντος Νίκωνος μηνὸς Ἑσπερίνου, ἀνέθηκαν | Καλλικράτης Καλλινόου, Πραξὼ Κλεομένεος | Ἐριναῖοι σῶμα ἀνδρεῖον ὧι ὄνομα Ἀντίοχος τῶι Ἀπόλλω|νι τῶι Πυθίωι ἐπ' ἐλευθερίαι, ἀπειλαφότες παρ' αὐτοῦ λύ|τρα ἐκ πολεμίων, καὶ μὴ καταδουλισάστω Ἀντίοχον μη||θεὶς τῶν Καλλικράτεος καὶ Πραξοῦς, προστάτας δὲ αἱ|ρεῖται τοὺς ἀπελευθερίξαντας, καὶ βεβαιωτὴρ κα|τὰ τοὺς νόμους τᾶς πόλιος· Κλέων

Κλευκρίτου Ἐρι|ναῖος. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄρχων καὶ | Ἄθαμβος καὶ οἱ ἄρχοντες Ἀντιγένης, Ἁγίων, Ὑβρίας· ‖ Ἀγέμαχος, Ἐχεκράτης Ἐριναῖοι, Μικκίνας Νικο|κλέα Λιλαιεύς.

Z. 5 Der Monatsname Ἑσπέρινος war bisher noch nicht bezeugt. — Sehr wichtig ist Z. 8 der Zusatz ἀπειλαφότες παρ' αὐτοῦ λύτρα ἐκ πολεμίων. Dazu steht 1532b, 4 eine Parallele: ἐπεὶ κατέβαλον τὰ λύτρα ἐκ τῶν πολε[μίων], ebenso 2167, 4 λαβοῦσα λύτρα ἐκ πολεμίων. Auf Grund solcher Stellen ist 2086, 9 ὡς λύτρα [Ξενοχάρεος λαβόν]τος mit Pomtow Jhrb. 35, 536 einzusetzen. — Zur Medialform καταδουλισάστω Z. 9 vgl. 2135, 3; zu προστάτας in Z. 10 vgl. 2251, 28; zur Form ἀπελευθερίξαντας (Z. 11) vgl. νοσφίξαιντο 1819, 9.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

2173 *Pomtow* (25): *C.-B.* 108.

Ἄρχοντος Φίλωνος μηνὸς Ποιτροπίου, βουλευόντων Πάσω-νος, | Ἀμύντα, Ἄγωνος, ἐπὶ τοῖσδε ἀπέδοτο Πύῤῥος Ἀτισίδα τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σώματα δύο οἷς ὀνόματα Βώτα καὶ Σωσίας τὸ γένος οἰκο|γενῆ, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τιμὰν ἀπέχει πᾶσαν. βεβαιω|τὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Διονύσιος Ἀστοξένου, καθὼς ἐπίστευσε | Βώτα καὶ Σωσίας τὰν ὠνὰν τῶι θεῶι ⟨τὰν ὠν⟩, ἐφ' ὧιτε ἐλευθέρους εἶμεν καὶ ἀνεφάπτους ἀπὸ πάντων τὸν πάντα βίον, ποιοῦντας ὅ κα θέλωντι καὶ ἀποτρέχοντας οἷς | κα θέλωντι. εἰ δέ τις ἐφάπτοιτο Σωσία ἢ Βώτας ἐπὶ καταδουλισμῶι, βέβαιον πα|ρεχέτω [τῶι θεῶι] τὰν ὠνὰν ὅ τε ἀποδόμενος Πύῤῥος, καὶ ὁ βεβαιωτὴρ βεβαιούτω, κύ‖ριος δὲ ἔστω καὶ ὁ παρατυχὼν συλέων Βώταν καὶ Σωσίαν ὡς ἐλευθέρους ἀνυ|πόδικος ὢν καὶ ἀζάμιος πάσας δίκας καὶ ζαμίας. μάρτυρες· Λαιάδας, | Πολυτιμίδας, Λάδικος, Εὐάγγελος. | παραμεινάτω δὲ Βώτα Πύῤῥωι, ἕως κα ζῆι, ποιοῦσα | τὸ ἐπιτασσόμενον πᾶν ἀνεγκλήτως.

Der Name Βώτα (*C.-B.* Βῶτα) wird zu βώτης Hirt (Εὐ-, Πολυ-βώτης) gehören. Oder ist er urspr. Ethnikon (vgl. 2151, 5; 2212, 4)? Er begegnet auch noch 2195, 9. — Der Freilasser ist der Sohn von dem in 2113, 3.

Die drei Jahresbuleuten weisen auf die

Zeit: Priesterschaft XVI—XVIII (in der Zeit von 50—1).

2174 *Pomtow* (26): *C.-B.* 49.

Ἄρχοντος Δάμωνος τοῦ Ξενοστράτου μηνὸς Ποιτροπίου,

βουλευ|όντων τὰν πρώταν ἑξάμηνον Βαβύλου, Κλέωνος, Δίωνος, ἐπὶ τοῖσ|δε ἀπέδοτο Πολύξενος Ὀξύλου, συνευδοκεόντων καὶ τῶν υἱῶν αὐτοῦ Ὀξύλου καὶ Ξεν[έ]α, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρῆ||ον ὧι ὄνομα Μάγας τὸ γένος Ἀράβα, τιμᾶς ἀργυρίου μνᾶν τεσ|σάρων, καθὼς ἐπίστευσε Μάγας τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε | ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα | βίον. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Ἀριστόδαμος | Γλαυκία. εἰ δέ τις ἅπτοιτο Μάγα ἐπὶ καταδουλισμῶι, βέβαι||⟨βέβαι⟩ον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος | καὶ ὁ βεβαιωτήρ. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύρι|οι ἐόντων συλέοντες Μάγαν ὡς ἐλεύθερον ἐόντα ἀζάμι|οι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· | τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Δρομοκλείδας, Ἄρχων καὶ οἱ ἄρ||χοντες Βαβύλος, Κλέων, Δίων καὶ ἰδιῶται Σωσίπατρος, | Κλεώνδας, Ὑβρίας, Δάμων Ξενοστράτου, Λαχάρης, Μένης, | Τιμόκριτος.

Z. 4 Ξεν[έ]α, nach *C.-B.* — Zu ἀνδρῆον vgl. 1785, 4; 2020, 2; 2162, 6; 2250, 6. — 9/10 *C.-B.* βέβαι⟨βέβαιον⟩. — Unter den Zeugen ist der ἄρχων ἐπών° genannt. Vgl. 2022.

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2175 *Pomtow* (27): *C.-B.* 46.

Ἄρχοντος Δάμωνος τοῦ Ξενοστράτου μηνὸς Ἰλαίου, βου|λευόντων τὰν δευτέραν ἑξάμηνον Ἁγίωνος τοῦ Ἐχε|φύλου, Ἀναξανδρίδα τοῦ Αἰακίδα, Εὐ|κλέος τοῦ Καλλισ[τράτου], ἐπὶ τοῖσδε || ἀπέδοτο Ἀπολλόδω|[ρος Ἀπολ]λοδώρου Πτολεμαιεὺς ἀπὸ Βάρκης | [τῶι Ἀπόλ]λωνι τῶι Πυθίωι, ἐάν τι αὐτὸς πάθηι, | [ὡς ἐ]λεύθερα σώματα ἀνδρεῖα τρία οἷς ὀ|[νόματα] Ἀφροδίσιος γένος Θρᾷξ, Λίβυς γένος Λίβυς, || [. . . . . οἰκο]γενὴς καὶ γυναικεῖα τέτταρα αἷς ὀνόματα Λι|[. . . . .]σσα, Ἐνώμη γένος Σύρα, Ἡράκλεια καὶ Εἰρήνη | [. . . . .]. βεβαιω|[τῆρες κατὰ] τὸν νόμον τᾶς πόλιος τῶν Δελφῶν· Ἀντιπαθ[. . | . . . .]ος, Διονύσιος καὶ Πολίτας οἱ Ἀσάνδρου καὶ Εὔδ||[οκος Πραξί]α καὶ Πολέμαρχος Πολέμωνος. εἰ δέ τις ἅπτοιτο | [. . . . .] τινος μετὰ τὸ μεταλλάξαι Ἀπολλόδωρον, οἱ βε|[βαιωτῆρ]ες τῶι θεῶι τὰν ὠνὰν βέβαιον παρεχόντων. ὁμοίως δὲ καὶ οἱ παρα|[τυγχάν]οντες κύριοι ἐόντων συλέοντες αὐτοὺς καὶ | αὐτὰς ὡς ἐλευθέρους ἐόντας ἀζάμιοι ἐόντες καὶ || ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· ὁ ἱερεὺς | τοῦ Ἀπόλλωνος Ἄρχων καὶ οἱ ἄρχοντες Ἁγίων

Ἐχεφύ|λου, Ἀναξανδρίδας, Εὐκλῆς καὶ ἰδιῶται Τιμόκριτος, | Γόργιππος.

Die Ergänzung *Καλλισ[τράτου]* Z. 4 ist durch 2250, 3 gesichert. — Z. 5 steht zwar *ἀπέδοτο*, aber es folgt keine Loskaufsumme. — Die Freilassung tritt ein: *ἐάν τι αὐτὸς πάθηι.* — Zu *τέτταρα* Z. 10 vgl. 2164, 3. — 14/15 *C.-B. Εὔδο||[κος . . . . . .] καί*, Pomtow, Jhrb. 35, 562 *Εὔδ||[οκος Πραξί]α.* — Zu Anfang von Z. 16 vermissen wir das formelhafte *ἐπὶ καταδουλισμῶι*: das sind aber zuviel Zeichen für die Lücke, die *C.-B.* angeben.

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2176 *Pomtow* (28): *C.-B.* 55.

Ἄρχοντος Ξενοκρίτου μηνὸς Ποιτροπίου τοῦ δευτέρου, | ἀπέδοτο Καλλὼ Ἀρίστωνος, συνευδοκέοντος καὶ τοῦ | ἀνδρὸς Ἀριστομάχου καὶ τῶν υἱῶν Ἀριστωνύμου καὶ Ἀρίσ|τωνος, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον || ἇι ὄνομα Σωτίμα τὸ γένος οἰκογενῆ, τιμᾶς ἀργυρίου | μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευ|σε Σωτίμα τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ | ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον. βεβαιωτὴρ κατὰ τὸν | νόμον τᾶς πόλιος· Ἀθανίων Ἀρίστωνος. εἰ δέ τις ἅπτοι||το Σωτίμας ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων | τὰν ὠνὰν τῶι θεῶι ἅ τε ἀποδομένα Καλλὼ καὶ ὁ βεβαιωτὴρ | Ἀθανίων. καὶ ὁ παρατυχὼν κύριος ἔστω συλέων Σωτίμαν | ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιος ὢν καὶ ἀνυπόδικος. μάρτυ|ροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄρχων καὶ οἱ ἄρχοντες Σώξε||νος, Σωσίπατρος, Γενναῖος καὶ ἰδιῶται Φιλόνικος, Δαμο|φάνης, Σωτήριχος, Τιμόκριτος.

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2177 *Pomtow* (29): *C.-B.* 50.

Ἄρχοντος Κλευδάμου μηνὸς Ἀμαλίου, βουλευόν|των τὰν δευτέραν ἑξάμηνον Μνασιθέου, Ἁγίω|νος, γραμματεύοντος Κλευδάμου τοῦ Μαντία, | ἐπὶ τοῖσδε ἀπέδοτο Εὔανδρος Εὐδόκου, συνευδοκέον||τος τοῦ πατρὸς αὐτοῦ Εὐδόκου, τῶι Ἀπόλλωνι τῶι Πυ|θίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἑλλὰς τὸ γένος ἐνδογε|νῆ, τεχνῖτιν, τιμᾶς ἀργυρίου μνᾶν ἕνδεκα, καὶ τὰν | τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Ἑλλὰς τῶι θε|ῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφα||πτος ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιέουσα | ὅ κα θέλῃ καὶ ἀποτρέχουσα οἷς κα θέλῃ. βεβαι|ωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Ξενόκριτος | Στησιμένεος. εἰ δέ τις ἅπτοιτο Ἑλλάδος ἐπὶ

καταδου|λισσμῶι, βέβαιον παρεχέτω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀ||ποδόμενος Εὔανδρος καὶ ὁ βεβαιωτὴρ Ξενόκριτος. εἰ | δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, πρά|κτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως | δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συ|λέοντες Ἑλλάδα ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ‖ ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. | μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος | Δρομοκλείδας· Εὐάγγελος, Δαμ . . . . | [illegible], Μένης, Ὑβρίας, Πισίστρατος.

Wegen des Zusatzes *τεχνῖτις* (Z. 7) vgl. 1842, 5; 1878, 15 ff.; 2094, 13; 2154, 7. — 20 *C.-B.* *ζα-¦ζαμίας*, gewiss nicht Dittographie auf dem Steine, sondern nur Versehen im Drucke. — *C.-B.* rechnen, indem sie Z. 22 den Punkt nach *Εὐάγγελος* setzen, diesen zur Priesterschaft: der College des *Δρομοκλείδας* ist bekanntlich *Ἄρχων Καλλία*. Wegen des einen Namens nach *τοὶ ἱερεῖς* vgl. 2004, 9. Nach *Δαμ*[gebe ich oben, was *C.-B.* drucken lassen.

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2178 *Pomtow* (30): *C.-B.* 97.

Ἄρχοντος Πύῤῥου | μηνὸς Βοαθοίου, βου[λευόν]|των Βαβύλου, Φίλωνος, Πολυ¦τειμίδα, ἀπέδοτο [Εἰ]σιὰς σῶμα ‖ γυναικεῖον κορίδιον ἇι ὄνομα Ἡρά|κλεα, τιμᾶς ἀργυρίου μνᾶν τριᾶ¦ν, | καὶ τὰν τιμὰν ἔχει πᾶσαν. βεβαιω¦τὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· | Εὐάγγελος Μεγάρτα. παραμεινάτω ‖ δὲ Εἰσιάδι ἕως κα ζῆι ποιο[(ῦ)]σα | τὸ ἐπιτασσόμενον πᾶν τὸ | δυνατόν. εἰ δὲ μὴ ποιῆι, ἐξουσίαν | ἐχέτω ἐπιτειμέουσα τρόπωι | ὧι κα θέληι. εἰ δέ τι πάθοι Εἰσιάς, ‖ λαβέτω τὰ Εἰσιάδος πάντα καὶ | ποιησάτω τὰ ποτὶ γᾶν πάντα. | εἰ δέ τις ἐφάπτοιτο ἐπὶ κατα|δουλισμῶι Ἡρακλέας, βέβαιον πα|ρεχέτωσαν τῶι θεῶι τὰν ὠνὰν ‖ ἅ τε ἀποδομένα καὶ ὁ βεβαιωτήρ. | ὁμοίως δὲ καὶ ὁ παρατυχὼν κύρι¦ος ἔστω συλέων Ἡράκλεαν ἐλευθέραν | ἀζάμιος ὢν καὶ ἀνυπόδικος πάσ¦ας δίκας καὶ ζαμίας. μάρτυροι· ὁ ἱερεὺς ‖ τοῦ Ἀπόλλωνος Λαιάδας Βαβύλου, | ἰδιῶται Ἁβρόμαχος, Γοργίλος, Κλεόμαντις.

C.-B. Z. 10 „*ποιῦνσα* (sic)". — 12 *κὰ* fehlt, wie so oft, vgl. 2159, 15; 2168, 12.

Zeit. Priesterschaft (XV oder) XVI (in der Zeit von 50—1).

2179 *Pomtow* (31): ders. Jhrb. 35, 545. *C.-B.* 101.

Ἄρχοντος Εὐκλείδα τοῦ Ἡρακλείδα μηνὸς Ἀμαλίου, | βουλευόντων Ἀντιγένεος τοῦ Ἀρχία, Μένητος τοῦ | Δάμωνος.

Z. 1 *P.* *Εὐκλείδα*, *C.-B.* *°κλίδα*. Vgl. 2188, 1. — Pomtow merkt an: „Unvollendet (es war nie weiter geschrieben); nur eingeritzt auf ungeglattetem, sehr zerfressenem Polygon“.

Zeit. Priesterschaft XIX (in der Zeit von 50—1).

2180 *Pomtow* (32)[1]: ders. Jhrb. 35, 527. *C.-B.* 100.

Ἄρχοντος Εὐκλείδα τοῦ Καλλία μηνὸς Θεοξενίου, | βουλευόντων Ἄρχωνος τοῦ Νικοστράτου, Κάλλωνος | τοῦ Ἀντιγενείδα, Κλεοξενίδα τοῦ Ἀθανίωνος, ἀπέδοντο Σωτύλος καὶ Ἀριστοκλῆς οἱ Ἡράκωνος τῶι Ἀπόλλω|νι τῶι Πυθίωι σώματα γυναικεῖα μὲν δύο οἷς ὀνόματα | Εἰσιδώρα, Εὐφροσύνα καὶ παιδάριον ὧ ὄνομα Ἰσίδω ρος τὸ γένος οἰκογενῆ, τιμᾶς ἀργυρίου μνᾶν ἓξ καὶ ἡ|μίσου, καὶ τὰν τιμὰν ἀπέχοντι πᾶσαν. βεβαιωτῆ|ρες κατὰ τοὺς νόμους τᾶς πόλιος· Μένιωρ Λαιά|δα, Ἐπίνικος Νικοστράτου, καθὼς ἐπίστευσαν τῶ θε|ῶ τὰς ὠνάς, ἐφ' ὥτε ἐλευθέρους εἶμεν τοὺς προγε|γραμ(μ)ένους⟨υς⟩ καὶ ἀνεφάπτους ἀπὸ πάντων τὸν | πάντα χρόνον, ποιοῦντας ὅ κα θέλωντι καὶ ἀποτρέ|χοντας οἷς κα θέλωντι. εἰ δέ τις ἐφάπτοι(το) ἐπὶ κα|ταδουλι(σ)μῶ Εἰσιδώρας ἢ Εὐφροσύνας ἢ Ἰσιδώρου, βέ|βαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀποδό|μενοι καὶ οἱ βεβαιωτῆρες. ὁμοίως δὲ καὶ ὁ παρατυχὼν | κύριος ἔστω συλέων τοὺς προγεγραμ(μ)ένους | ὡς ἐλευθέρους ὄντας ἀζάμιος ὢν καὶ ἀνυπόδι|κος πάσας δίκας καὶ ζαμίας. μάρτυρες· οἵ τε ἱερεῖς | τοῦ Ἀπόλλωνος Νικόστρατος Ἄρχωνος, Δά|μων Ἀγάθωνος καὶ ἰδιῶται Καλλίστρατος Αἰακίδα, | Ξενόκριτος Μένητος, Ἀντιγενίδας, | Μεγάρτας.

Genaue Nachbildung des Textes bei Pomtow S. 527.

Z. 2 *P.* *Κάλλωνος*, *C.-B.* *Δίωνος*. — 6 *P.* *ὧ*, *C.-B.* *ὧι*. — 7 *ευ* von *οἰκογενῆ* steht über der Zeile, ebenso Z. 17 *ως δὲ* von *ὁμοίως δὲ καί*, wo *C.-B.* nur *ὁμοίως καὶ* geben. — 10/11 *P.* *τῶ θεῶ*, *C.-B.* *τῶι θεῶι*; 11 *P.* *ὥτε*, *C.-B.* *ὥιτε*. — 11/12 *P.* *προγε|γραμ(μ)ένους ⟨υς⟩*, *C.-B.* *προγε|γραμμένους* ohne Angabe der Dittographie. — 14 *P.* *οἷς*, *C.-B.* *ὧι*. — 14 *P.* *ἐφάπτοιτο*, *C.-B.* *ἐφάπτοι* (vgl. 2192, 12). — 14/15 *P.* *κα ταδουλι(σ)μῶ*, *C.-B.* *κα ταδουλισμῶι*. — 16 *P.* *παρεχόντω*, *C.-B.* *°των*. — 18 *P.* *°γραμ(μ)ένους*, *C.-B.* *°γραμμένους*. — Z. 5/6 *μέν* — *καί*, vgl. 2219, 20.

Im Stemma der Damochares-Kalleidas-Eukleides-Familie, das Pomtow, Rh. Mus. 49, 596 giebt, vermutet er *Εὐκλείδας Καλλί(δ?)α* für unsere No. 2180, 1.

Zeit. Priesterschaft XVIIa (in der Zeit von 50—1). S. Pomtow Jhrb. a. a. O.

---

[1]) Pomtow (33) — aus Priesterschaft IX — von *C.-B.*, weil unleserlich, weggelassen. S. S. 475.

2181 *Pomtow* (34): *C.-B.* 40.

Ἄρχοντος Δαμοσθένεος μηνὸς Ποιτροπίου, ἀπέ|δοτο Διονύσιος Ἱρανίωνος τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα ἀνδρεῖον ὧι ὄνομα Σωτηρίδας τὸ γένος οἰ|κογενῆ, τιμᾶς ἀργυρίου μνᾶν δεκατριῶν, καὶ τὰν ‖ τιμὰν ἀπέχει πᾶσαν, καθὼς ἐπίστευσε Σωτηρίδας | τὰν ὠνὰν τῶι Ἀπόλλωνι τῶι Πυθίωι, ἐφ' ὧιτε ἐλεύθε|ρον εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα | χρόνον, ποιοῦντι ὅ κα θέληι καὶ ἀποτρέχοντι ἆι κα θέ|ληι. βεβαιωτῆρες κατὰ τὸν νόμον τᾶς πόλιος καὶ κα‖τὰ τὸ σύμβολον τὸ ποτὶ Ἀμφισεῖς· Φιλοκράτης Ξένω|νος Δελφός, Ἡρακλείδας Εὐτύχου Ἀμφισσεύς. εἰ δέ | τις ἐφάπτοιτο ἐπὶ καταδουλισμῶι Σωτηρίδα, βέβαι|ον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος | Διονύσιος καὶ οἱ βεβαιωτῆρες. εἰ δὲ μὴ παρέχοιν ‖ βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων | κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ πα|ρατυγχάνοντες κύριοι ἐόντων συλέοντες Σωτη|ρίδαν ὡς ἐλεύθερον ὄντα ἀζάμιοι ὄντες καὶ | ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· ὁ ἱε‖ρεὺς τοῦ Ἀπόλλωνος Ἄρχων καὶ ὁ νεωκόρος Μένης | καὶ τῶν ἀρχόντων Ἀναξανδρίδας Αἰακίδα καὶ | ἰδιῶται Ἄθαμβος Ἀβρομάχου, Ὀρθαγόρας | Ἀρίστωνος, Εὐάγγελος Πάτρωνος, Ἀρχέλαος | Δαμοσθένεος, Δημήτριος Θεοδώρου, Δαμότιμος ‖ Ἀνδρονίκου, Κλέων Διονυσίου, Κλέων Ἥρυος Δελφοί, | Μενεκράτης Νικέα Ἀμφισσεύς, Σύμμαχος | Λύκωνος Οἰανθεύς.

Zu *ἀπέχει* Z. 5 vgl. 1840, 6; 2100, 4. — Zu *ἆι κα θέλῃ* Z. 8 vgl. 2217, 11. — Zum Constructionswechsel (Z. 8) in *ποιοῦντι* vgl. 1724, 4. — Die ggr. Form *Δημήτριος* sehr oft in diesen Denkmälern, z. B. 2158; 2252, 3. — Inconsequent die Schreibungen *Ἀμφισεῖς* (Z. 10) u. *Ἀμφισσεύς* (Z. 11), wie so oft.

Zeit. Priesterschaft VII (in der Zeit von 140—100).

2182 *Pomtow* (35): *C.-B.* 33.

Ἄρχοντος Δαμοσθένεος τοῦ Ἄρχωνος μηνὸς | Ποιτροπίου τοῦ πρώτου, βουλευόντων τὰν πρώταν | ἑξάμηνον Φιλαιτώλου τοῦ Φαίνιος, Τιμοκλέος τοῦ Θρα|σέα, γραμματεύοντος Ἀναξανδρίδα τοῦ ‖ Αἰακίδα, ἐπὶ τοῖσδε ἀπέδοτο [Ἀστίας] | Ἀμεινία Δελφὸς τῶι Ἀπόλλωνι [τῶι Πυθίωι] σῶμα | γυναικεῖον ἆι ὄνομα Σωφρόνα κ[αὶ τὸν υἱὸν] αὐτᾶς Ἡρακλεί|δαν τὸ γένος ἐκ Φανατέος, τιμᾶς [ἀργυρίου] μνᾶν τεττά|ρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς [ἐπίστ]ευσε Σωφρόν‖α καὶ

Ἡρακλείδας τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι ἐλευθέρους | εἶμεν καὶ ἀνεφάπτους ἀπὸ πάντων τὸν πάντα χρό|νον, ποιοῦντας ὅ κα θέλωντι καὶ ἀποτρέχοντας οἷς | κα θέλωντι. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πό|λιος· Ἄθαμβος Ἀθανίωνος. εἰ δέ [τίς] κα ἐφάπτοι||το ἐπὶ καταδουλισσμῶι Σωφρόνας καὶ Ἡρακλείδα, βέβαι|ον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδό|μενος Ἀστίας καὶ ὁ βεβαιωτὴρ Ἄθαμβος Ἀθα|νίωνος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | κύριοι ἐόντων συλέοντες Σωφρόναν καὶ Ἡ||ρακλείδαν ὡς ἐλευθέρους ἐόντας ἀζάμιοι ἐ|όντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμί|ας. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄρχων | καὶ ὁ ἄρχων Ἀναξανδρίδας καὶ ἰδιῶται Ἄθαμ|βος Ἀθανίωνος, Κλέων Κλεοδάμου, Τιμό|κριτος, Βαβύρτας, Λυσίμαχος, Σωσικράτης | Κρόκου, Δωρόθεος.

Zu Z. 8 *ἐκ Φανατέος* vgl. *ἐμ Φανατεῖ* IGS. I 3376, 9; durch 1715, 1; 1770, 1; 1787, 4, 9 ist *Φανατεύς* als Ethnikon bekannt. — 8 *τεττάρων* vgl. 2164, 3 Anm. — 14 *εἰ — κὰ* u. opt. vgl. 1823, 12; 1830, 10; 1924, 9; 2171, 11; 2271, 26. — 23 Der Bürge ist als erster Privatzeuge aufgeführt. — 25 *Βαβύρτας* sichert die Hesychglosse *βαβύρτας· ὁ παράμωρος* gegen die gemachten Änderungsvorschläge und stützt die Überlieferung der Namensform bei Polyb. 4, 4, 5.

Zeit. Priesterschaft VII (in der Zeit von 140—100).

2183 *Pomtow* (36): *C.-B.* 39.

Ἄρχοντος Δαμοσθένεος μηνὸς Θευξενίου, βουλευόν|των τὰν δευτέραν ἑξάμηνον Ἀθάμβου τοῦ Ἁβρομάχου, Ἐμμενίδα | τοῦ Καλλία, γραμματεύοντος Ἀντιγένεος τοῦ Διοδώρου, ἐπὶ | τοῖσδε ἀπέδοτο Πραξίας Εὐδόκου Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυ||θίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Χρήσιμος τὸ γένος Σύρον Βηρύτι|ον, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καὶ τὰν γυναῖκα αὐτοῦ Ζωΐδα | τὸ γένος Σύραν, τιμᾶς ἀργυρίου μνᾶν τεττάρων καὶ ἡμιμναί|ου, καὶ τὰν τιμὰν ἔχει πᾶσαν παρ' ἑκατέρων, καθὼς ἐπίστευσε | Χρήσιμος καὶ Ζωῒς τῶι θεῶι τὰν ὠνάν. βεβαιωτῆρες κατὰ τοὺς ‖ νόμους τᾶς πόλιος· Εὔδοκος καὶ Θρασυκλῆς οἱ Πραξία. συνυπη[ρ]ε(ι)τείτω δὲ Χρήσιμος Πραξίαι, ὅ κα | χρηίζηται. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄρχων καὶ οἱ | ἄρχοντες Ἐμμενίδας, Ἄθαμβος, Ἀντιγένης καὶ ἰδιῶται | Ἁγίων Ἐχεφύλου, Δάμων Ξενοστράτου, Ἀναξανδρίδας, Πά||σων, Φίλαγρος Φίλωνος, Πρώταρχος, Τιμόκριτος.

Die Heimat des Freigelassenen ist die Hafenstadt *Βηρυτός* (Beirut).

— Z. 7. Zu *τεττάρων* vgl. 2164, 3. — Auffällig Z. 8 der Plural *παρ' ἑκατέρων*. So auch 1955, 8; 2216, 12. Auf solchen Gebrauch wirkte wohl der Gebrauch des opp. *ἀμφότεροι* ein. — 10/11 *C.-B. συνυπη[ρ]ετείτω*, vgl. *ὑπηρετείτω⟨ι⟩* 1952, 4.

Z. 12 *χρηάηται* setzt ein *χρηάομαι* voraus; anderwärts haben wir Spuren von *χρηέομαι* (Verf. Inschrift von Gortyn 51): das ist derselbe Wechsel, den wir bei *συλάω* und *συλέω* beobachten. Vgl. *θεάομαι* und *θηέομαι*. — Bemerkenswert, dass die Söhne des Freilassers die Bürgen sind. — Von den Zeugen ist *Πάσων* wohl derselbe, der 2145, 13 und 2209, 3 vorkommt.

Zeit. Priesterschaft VII (in der Zeit von 140—100).

2184 *Pomtow* (37): *C.-B.* 34.

Ἄρχοντος Δαμοσθένεος μηνὸς Ποιτροπίου τοῦ πρώτου, βου|λευόντων τὰν πρώταν ἑξάμηνον Φιλαιτώλου τοῦ Φαίνιος, | Τιμοκλέος τοῦ Θρασέα, γραμματεύοντος Ἀναξανδρίδα τοῦ Αἰ|ακίδα, ἀπέδοτο Ἵππων Ἀθανίωνος Δελφὸς τῶι Ἀπόλλωνι σῶ||μα ἀνδρεῖον ὧι ὄνομα Λίβανος τὸ γένος Σύρον, τιμᾶς ἀργυρίου | μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Λίβανος τὰν ὠνὰν τῶι θεῶι, | ὥσστε ἐλεύθερον καὶ ἀνέφαπτον εἶμεν τὸν πάντα χρόνον. βε|βαιωτήρ· Εὔδοκος Πραξία Δελφός, κατὰ τοὺς νόμους τᾶς πόλι|ος. εἰ δέ τις καταδουλίζοιτο Λίβανον, κύριος ἔστω αὐσω||τὸν συλέων καὶ ἄλλος ὁ θέλων, καὶ ὁ βεβαιωτὴρ βεβαιού|τω. μάρτυροι· Λύσων Ἵππωνος, Θρασυκλῆς Πραξία, Τιμό|κριτος καὶ ὁ ἱερεὺς Ἄρχων Καλλία καὶ ὁ ναοκόρος Μένης | καὶ οἱ ἄρχοντες Φιλαίτωλος, Ἀναξανδρίδας.

Zeit. Priesterschaft VII (in der Zeit von 140—100).

2185 *Pomtow* (38): *C.-B.* 104.

Ἄρχοντος Ξεναγόρα τοῦ Ἀβρομάχου μηνὸς | Βουκατίου, βουλευόντων Διονυσίου τοῦ Ἀστο|ξένου, Γοργίλου τοῦ Ἀντιφίλου, ἀπέδοτο Ζωΐλος | Ζωΐλου τῶι Ἀπόλλωνι τῶι Πυθίωι, συνευαρεστε||όντων καὶ τῶν τέκνων Μελίσσου καὶ Θεοτίμας, σώ|ματα γυναικεῖα αἷς ὀνόματα Βερενίκα καὶ Ἀπολλωνί|α, τιμᾶς ἀργυρίου μνᾶν δύο καὶ ἡμίσου, καὶ τὰν τιμὰν ἀ|πέχει πᾶσαν, καθὼς ἐπίστευσαν τῶι θεῶι τὰν ὠνὰν | Βερενίκα καὶ Ἀπολλωνία, ἐφ' ὧιτε ἐλευθέρας εἶμεν καὶ || ἀνεφάπτους ἀπὸ πάντων τὸν πάντα βίον. βεβαιωτὴρ | κατὰ τοὺς νόμους τᾶς πόλιος· Λαιάδας Μελισσίωνος. | εἰ δέ τις ἐφάπτοιτο Βερενίκας καὶ Ἀπολλωνίας ἐπὶ κατα|δουλισμῶι, βέβαιον παρε-

χόντω τῶι θεῶι τὰν ὠνὰν | ὅ τε ἀποδόμενος καὶ ὁ βεβαιωτήρ. ὁμοίως δὲ καὶ ὁ πα|ρατυχὼν κύριος ἔστω συλέων Ἀπολλωνίαν καὶ | Βερενίκαν ὡς ἐλευθέρας οὔσας ἀζάμιος ὢν καὶ | ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. μάρτυρες· | οἵ τε ἱερεῖς τοῦ Ἀπόλλωνος Πολέμαρχος Δάμω|νος, Διόδωρος Φιλονίκου καὶ ἰδιῶται Δάμων καὶ ‖ Πάσων οἱ Πολεμάρχου, Καλλίστρατος Νικάνδρου, | Ξεναγόρας Ἁβρομάχου, Φιλαίτωλος Θεοξένου.

Derselbe eponyme Archont ist hier, wie 2157, unter den Zeugen besonders aufgeführt. — Pomtow rechnet Jhrb. 35, 551 nach, dass *Καλλίστρατος Νικάνδρου* (Z. 20) Sohn von *Νίκανδρος Βούλωνος* 2259, 14 ist.

Zeit. Priesterschaft XXI (kurz nach Chr. Geburt).

2186 *Pomtow* (39): *C.-B.* 31.

Ἄρχοντος Δαμοστράτου μη|νὸς Ἰλαίου, βουλευόντων τὰν δευτέραν ἑξάμηνον Ἀθάμβου τοῦ Ἁβρομάχου, | Γλαύκου τοῦ Ξένωνος, γραμματεύοντος Σω‖ξένου τοῦ Ἐκεφύλου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀντίφιλος, | συνευδοκέοντος καὶ τοῦ υἱοῦ αὐτοῦ Βάττου, τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Σωτηρὶς τὸ γένος Θρᾶισσαν, | τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐ|πίστευσε Σωτηρὶς τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα ‖ εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιέουσα | ὅ κα θέλῃ καὶ ἀποτρέχουσα οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νό|μον τᾶς πόλιος· Γοργίλος Φαίνιος. εἰ δέ τις ἅπτοιτο Σωτηρίδος ἐπὶ κα|ταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀπο|δόμενος Ἀντίφιλος καὶ ὁ βεβαιωτὴρ Γοργίλος. εἰ δὲ μὴ παρέχοιν βέ‖βαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πό|λιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες | Σωτηρὶν ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πά|σας δίκας καὶ ζαμίας. παραμεινάτω δὲ Σωτηρὶς παρὰ Ἀντίφιλον ἄχρι οὗ κα | ζώῃ Ἀντίφιλος ποιέουσα τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλή‖τως. εἰ δὲ μὴ ποιέοι ἢ μὴ παραμένοι Σωτηρὶς παρὰ Ἀντίφιλον, κύριος ἔστω | ἐπιτιμέων Ἀντίφιλος καὶ ἄλλος ὑπὲρ Ἀντίφιλον τρόπωι ὧι κα αὐτὸς θέ|λῃ, πλὰν μὴ πωλέων. ἐπεὶ δέ κά τι πάθῃ ἀνθρώπινον Ἀντίφιλος, ποταποδότω Σωτηρὶς Βάττωι ἀργυρίου μνᾶν, καὶ ἐλευθέρα ἔστω Σωτηρίς, | καθὼς ἐπάνω γέγραπται. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀν‖δρόνικος, Πραξίας καὶ οἱ ἄρχοντες Γλαῦκος, Σώξενος καὶ ἰδιῶται Τιμό|κριτος, Μένης, Εὐκλείδας.

C.-B. Z. 7 *Θραῖσαν* (s. zu 2164, 2). — 17 *Σωτῆριν*; dieselbe Flexion 1839; s. zu 2151. — Das Verbot des Verkaufs (Z. 22) auch 2140, 29/30; 2158, 19; 2159, 19; 2163, 27; 2190, 21; 2225, 30 u. o. — Freilasser wie 2154.

Zeit. Priesterschaft VI (etwa 150—140).

2187 *Pomtow* (40): *C.-B.* 44.

Ἄρχοντος Δαμοσθένεος μηνὸς Ποιτροπίου, βουλευόντων | τὰν πρώταν ἑξάμηνον Φιλαιτώλου τοῦ Φαίνιος, Τιμοκλέος τοῦ | Θρασέα, γραμματεύοντος Ἀναξανδρίδα τοῦ Αἰακίδα, ἐπὶ τοῖσ|δε ἀπέδοτο Πολέμαρχος Πολέμωνος, συνευδοκέοντος ‖ καὶ τοῦ υἱοῦ Πολέμωνος, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα | γυναικεῖον ἆι ὄνομα Πίστις τὸ γένος οἰκογενῆ, τιμᾶς ἀργυρίου | μνᾶν τεττάρων καὶ ἡμιμναίου, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς | ἐπίστευσε Πίστις τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶ|μεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιέουσα ὅ κα ‖ θέληι καὶ ἀποτρέχουσα οἷς κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον | τᾶς πόλιος· Ξεναίνετος Σωσινίκου. εἰ δέ τις ἅπτοιτο Πίστιος | ἐπὶ καταδουλισσμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν | ὅ τε ἀποδόμενος Πολέμαρχος καὶ ὁ βεβαιωτὴρ Ξεναίνετος. | εἰ δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόν‖των κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρα|τυγχάνοντες κύριοι ἐόντων συλέοντες Πί(σ)τιν ὡς ἐλευ|θέραν ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄρ|χων καὶ οἱ ἄρχοντες Φιλαίτωλος, Τιμοκλῆς, Ἀνα|ξανδρίδας καὶ ἰδιῶται Τιμόκριτος, Κλέων Δι|ονυσίου, Μένης Πισι(σ)τράτου, Δίων Φιλιστίωνος.

Zu *τεττάρων* (Z. 7) vgl. 2164, 3. — Z. 16 *C.-B.* *Πίτιν* (sic), 21 *Πισιτράτου* (sic); letzteres Versehen auch 1686, 13. — Freilasser wie 2169.

Zeit. Priesterschaft VII (in der Zeit von 140—100).

2188 *Pomtow* (41): ders. Jhrb. 35, 530. *C.-B.* 102.

Ἄρχ(ο)ντος Εὐ[κλεί]δα τοῦ Ἡρακλείδα μηνὸς | Ἀπελλαίου, βουλευόντων Ἀντιγένεος | τοῦ Ἀρχία, Μένητος τοῦ Δάμωνος, ἀπέδον|το Νικόστρατος Ἄρχωνος καὶ Δαντὼ ‖ ⟨τᾶς⟩ Εὐδώρου, συνευαρεστεούσας | καὶ τᾶς θυγατρὸς τοῦ υἱοῦ αὐτῶν Ἄρχω|νος Δαντοῦς, ἐπ' ἐλευθερία τῶι Ἀπόλλω|νι τῶι Πυθίωι σῶμα γυναικεῖον, ἇ ὄνομα Φι|λουμένα, τιμᾶς ἀργυρίου μνᾶν ἐννέα, ‖ καὶ τὰν τιμὰν ἀπέχοντι πᾶσαν. βεβαιω|τὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Μελισσίων | Διονυσίου, καθὼς ἐπίσστευσε

Φιλουμένα | τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧτε ἐλευθέραν εἶ|μεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάν||τα χρόν(ον). εἰ δέ τις ἐφάπτοιτο Φιλουμένας | ἐπὶ καταδουλισμῶ, βέβ(α)ιον παρεχόντων | τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀποδόμενοι καὶ | ὁ βεβαιωτήρ. κύριος δὲ ἔστω⟨ι⟩ καὶ (ἄ)λλος συ|λέων Φιλουμέναν ὡς ἐλευθέραν οὖσαν || ἀζάμιος ὢν καὶ ἀνυπόδικος πάσας δίκας | καὶ ζαμίας. μάρτυροι· οἵ τε ἱερεῖς τοῦ Ἀπόλ|λωνος τοῦ Πυθίου Καλλίστρατος Αἰακίδα, | Ἁβρόμαχος Ξεναγόρα καὶ ἰδιῶται Διόδω|ρος Δωροθέου, Βαβύλος Λαιάδα, Δωρόθε||ος Διοδώρου, Νίκανδρος, Φιλισστίων.

Genaue Nachbildung der Inschrift bei Pomtow a. a. O. S. 530.

Z. 1. *P.* ἄρχ(ο)ντος, *C.-B.* ἄρχοντος. — *P.* Εὐ[κλεί]δα, *C.-B.* voll. S. 2179, 1. — 3 Das ν am Ende von ἀπέδον| steht über der Zeile, ebenso das ς von δίκας am Rande von Z. 20. — 5 „Im Anfange von Z. 5 ist das irrtümlicherweise eingehauene ΤΑΣ vom Steinmetzen getilgt worden" *P.*, *C.-B.* ohne es anzumerken. — 7 *P.* ἐλευθερία, *C.-B.* °ρίαι. — 8 *P.* ἅ, *C.-B.* ἅι. — 12 *P.* ἐπισστ°, *C.-B.* ἐπίστευσε. — 13 *P.* ὥτε, *C.-B.* ὥιτε. — 15 *P.* χρόν(ον), *C.-B.* χρόνον. — 16 *P.* καταδουλισμῶ, βέβ(α)ιον, *C.-B.* °σμῶι, βέβαιον. — 18 *P.* ἔστω⟨ι⟩ καὶ (ἄ)λλος, *C.-B.* ἔστω καὶ ἄλλος; zu ἔστω⟨ι⟩ vgl. z. B. 2012, 5 u. o. — 25 *P.* Φιλισστίων, *C.-B.* Φιλιστίων. — Der Grieche empfand Δαντώ formell gewiss wie ein *Φαντ-ώ, der Bedeutung nach als Θεο-δότη, Θεο-δώρα (vgl. δάνος).

Zeit. Priesterschaft XIX (in der Zeit von 50—1).

2189 *Pomtow* (42): *C.-B.* 32.

Ἄρχοντος Δαμοστράτου μηνὸς Ποιτρο|πίου, βουλευόντων τὰν πρώταν ἑξάμη|νον Ἡρακλείδα τοῦ Καλλία, Σωστράτου | [τοῦ] Σωτύλου, γραμματεύοντος Πυῤῥία τοῦ Ἀρ||[χελ]άου, ἐπὶ τοῖσδε ἀπέδοντο οἱ προστάται | [τῶν] δαμιοργῶν Ἰατάδας καὶ Βούλων τῶι Ἀπόλ[λων]ι τῶι Πυθίωι σῶμα ἀνδρεῖον, ὧι ὄνομα Πυῤῥίας | [τὸ γ]ένος οἰκογενῆ, τιμᾶς ἀργυρίου μνᾶν τριῶν καὶ | [ἡμιμναί]ου, καὶ τὰν τιμὰν ἔχοντι πᾶσαν, καθὼς ἐπίστευ||σε Πυῤῥίας τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος | εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, | ποιέων ὅ κα θέληι καὶ ἀποτρέχων οἷς κα θέληι. βε|βαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Δρομοκλείδας Ἀγ|ίωνος. εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι Πυῤ|ῥία, βέβ[αι]ον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀποδόμενοι | προστάται Ἰατάδας καὶ Βούλων καὶ ὁ βεβαιωτὴρ Δρομο|κλείδας. εἰ δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν | ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. ὁ|μοίως δὲ καὶ οἱ παρατυγχάνοντες

κύριοι ἐόντων συλέον||τες Πυῤῥίαν ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ἐόντες καὶ ἀνυπό|δικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλ|λωνος Πραξίας, Ἀνδρόνικος καὶ οἱ ἄρχοντες Ἡρακλείδας | Καλλία, Σώστρατος Σωτύλου, Πυῤῥίας Ἀρχελάου καὶ οἱ ἰδιῶ|ται Ἀμφίστρατος, Ἀρχέλαος, Μένης, Ἄρχων, Ἀλκῖνος.

Singulär ist, dass *οἱ προστάται* [*τῶν*] *δαμιοργῶν* als Freilasser genannt werden.

Zeit. Priesterschaft VI (etwa 150—140).

2190 *Pomtow* (43): *C.-B.* 42.

Ἄρχοντος Δαμοσθένεος μηνὸς Βοαθόου, βουλευόντων τὰν πρώ|ταν ἑξάμηνον Τιμοκλέος τοῦ Θρασέα, Φιλαιτώλου τοῦ Φαίνι|ος, γραμματεύοντος Ἀναξανδρίδα τοῦ Αἰακίδα, ἀπέδοτο | Ἀνδρόνικος Φρικίδα τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα || ἀνδρεῖον ὧι ὄνομα Δίσσκος τὸ γένος Αἰγύπτιον, τιμᾶς ἀργυ|ρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπί|στευσε Δίσκος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶ|μεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιέων | ὅ κα θέλῃ καὶ ἀποτρέχων οἷς κα θέλῃ. βεβαιωτῆρες κατὰ || τὸν νόμον τᾶς πόλιος· Τιμοκλῆς Πολύωνος, Ξενόκριτος Στη|σιμένεος. εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι Δίσκου, βέβαι|ον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἀνδρόνι|κος καὶ οἱ βεβαιωτῆρες Τιμοκλῆς καὶ Ξενόκριτος. εἰ δὲ μὴ παρέχοιν βέ|βαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. || ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες Δί|σκον ἐπ' ἐλευθερίαι ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδι|κοι πάσας δίκας καὶ ζαμίας. παραμεινάτω δὲ Δίσκος παρὰ Ἀνδρό|νικον, ἄχρι οὗ κα ζώῃ Ἀνδρόνικος, ποιέων τὸ ποτιτασσόμενον πᾶν | τὸ δυνατὸν ἀνεγκλήτως. εἰ δὲ μὴ παραμένοι ἢ μὴ ποιέοι τὸ ποτιτασ||σόμενον, κύριος ἔστω ἐπιτιμέων Ἀνδρόνικος τρόπωι ὧι κα | αὐτὸς θέλῃ, πλὰν μὴ πωλέων. ἐπεὶ δέ κά τι ἀνθρώπινον γένη[ται] | περὶ Ἀνδρόνικον, ἐλεύθερος ἔστω Δίσσκος | καθὼς ἐπάνω γέγραπται. | μάρτυροι· ὁ ἱερ[εὺς] || Ἄρχων Καλλία καὶ Τιμο|κλῆς ὁ ἄρχων καὶ οἱ ἰδιῶται | Μένης, Δρομοκλείδας, Νικό|μαχος Δεξίππου, Τιμόκρι|τος, Δρόμων, Εὐκλείδας || Καλλείδα.

Beispiele zum Verbote des Verkaufes des Freigelassenen s. 2186, 22.

Zeit. Priesterschaft VII (in der Zeit von 140—100).

2191 *Pomtow* (44): *C.-B.* 63.

Ἄρχοντος Ὑβρία μηνὸς Ποιτροπίου, ἀπέδοτο Ἀριστίων Κρ[άτω]νος Χαιρωνεὺς τῶι Ἀπόλλωνι σῶμα ἀνδρεῖον ὧι ὄνομα Ἑρμαῖος, τιμᾶς ἀργυρίου μνᾶν ἕξ, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, | καθὼς ἐπίστευσε Ἑρμαῖος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος ‖ εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιέων ὅ κα θέλῃ καὶ ἀποτρέχων οἷς κα θέλῃ. βεβαιωτὴρ κα|τὰ τὸν νόμον τᾶς πόλιος· Ὑβρίας Ξένωνος. εἰ δέ τις | ἐφάπτοιτο Ἑρμαίου ἐπὶ καταδουλισμῶι, κύριος ἔστω ὁ πα|ρατυχὼν συλέων ὡς ἐλεύθερον ὄντα ἀζάμιος ὢν καὶ ἀντιπόδικος πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλ|λωνος Ἄρχων, Ἄθαμβος καὶ οἱ ἄρχοντες Ἡρακλείδας, Ξεναί|νετος καὶ ὁ γραμματεὺς Καλλικράτης, ἰδιῶται Καλλίας Ἐπι|νίκου, Πυῤῥίας, Καλλείδας, Πάτρων Ἰατάδα, Ἡράκων Γενναίου, Ξέ|νων Πολύωνος.

Der *ἄρχων ἐπών.* ist Bürge, vgl. 2162, 1.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

2192 *Pomtow* (45): *C.-B.* 92.

Ἄρχοντος Πεισιστράτου μηνὸς Ἰλαίου, βουλευόντων Διοδώρου, Ἁγίωνος, Φίλωνος, Ἀγησιλάου, | ἀπέδοτο Ἱράνα Νικία σῶμα γυναικεῖον ἇι ὄνομα | Πρέπουσα τὸ γένος οἰκογενῆ. παραμεινάτω δὲ ‖ Πρέπουσα Ἱράναι ἕως κα ζῆι ποιοῦσα πᾶν τὸ ἐπι|τασσόμενον πᾶν τὸ δυνατόν. εἰ δὲ μὴ ποέοι, | ἐξουσίαν ἐχέτω ἐπιτιμέουσα τρόπωι ὧι κα θέλῃ. | εἰ δὲ θέλοι προαπελθεῖν, δότω Πρέπουσα | Ἱράναι ἀργυρίου μνᾶς πέντε καὶ ἀπολελυμέ‖να ἔστω τᾶς παραμονᾶς. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Φιλόνικος Νικία. εἰ | δέ τις ἐφάπτοι(το) ἐπὶ καταδουλισμῶι, βέ|βαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ⟨ὠ|νὰν⟩ ἅ τε ἀποδομένα καὶ ὁ βεβαιωτήρ. ‖ ὁμοίως δὲ καὶ ὁ παρατυχὼν κύριος | ἔστω συλέων Πρέπουσαν ἀζάμιος | ὢν καὶ ἀνυπόδικος. μάρτυροι· οἱ ἱε|ρεῖς τοῦ Ἀπόλλωνος Ἐμμενίδας .... | ...... ‖ Βαβίλος | .....

Z. 9 Aufhebung der *παραμονά* durch Zahlung wie 1811, 4; vgl. noch 2199, 10/12. — 12 *C.-B. ἐφάπτοι.* Vgl. 2180, 14. — 18/19 ob trotz des Plural *οἱ ἱερεῖς* nur *Ἐμμενίδας* oder ob *Λαιάδας* mit genannt war, lässt sich nicht ausmachen. — Der Bürge ist der Bruder der Freilasserin, s. 2193, 3 und 2290, 7. — In No. 2210 wird *Πρέπουσα* völlig freigesprochen, weil sie die 5 Minen (Z. 9) beibringt und sich damit auch von *παραμονά* befreit.

Zeit. Priesterschaft XV (c. 50 vor Chr.).

2193 *Pomtow* (46): *C.-B.* 91.

Ἄρχοντος Πεισιστράτου μηνὸς Ἰλαίου, βουλευόντων Διοδώρου, | Ἁγίωνος, Ἀγησιλάου, Φίλωνος, ἀπέδοτο Ἰράνα Νικία, συνευαρεστέοντος καὶ τοῦ ἀδελφοῦ αὐτᾶς Φιλονίκου, τῶι Ἀπόλλωνι τῶι Πυθίωι ἐπ' ἐλευθε|ρίαι σώματα τρία οἷς ὀν(ό)ματα Σωσικράτεα, Σπινθήρ, Κέρδων, τειμᾶς [ἀργυρίου] ‖ μνᾶν δεκατριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. βεβαιωτὴρ κατ[ὰ τ]οὺς νόμους τᾶς πόλιος· | Φιλόνικος Νικία. εἰ δέ τις ἐφάπτοιτο ἐπὶ καταδουλισμῶι Σωσικρατέας ἢ Σπινθῆρος ἢ Κέρ|δωνος, βέβαιον παρεχέτω τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα Ἰράνα καὶ ὁ βεβαιωτὴρ Φιλόνικος. | ἐξουσίαν δὲ ἐχέτω ὁ παρατυχὼν συλέων Σωσικράτεαν, Σπινθῆρα, Κέρδωνα ἐπ' ἐλευθερίαι | ἀζάμιος ὢν καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἐμμενίδας, ‖ Λαιάδας, ἰδιῶται Καλλίστρατος, Δημήτριος, Ἡρακλείδας.

Freilasserin und Bürge wie 2192 und 2290. — Die ggr. Form *Δημήτριος* Z. 10 wie oft, 2181; 2252, 3.

Zeit. Priesterschaft XV (c. 50 vor Chr.).

2194 *Pomtow* (47): ders. Jhrb. 35, 572. *C.-B.* 73.

Ἄρχοντος Ἁγίωνος τοῦ Ἐχεφύλου | μηνὸς Ἀμαλίου, βουλευόντων τὰν | δευτέραν ἑξάμηνον Κλέωνος τοῦ Ἥ|ρ-υος, Ἀζαράτου τοῦ Ἀντιχάρεος, γραμ‖ματεύοντος δὲ Ταραντίνου τοῦ Μνασιθέου, ἐπὶ τοῖσδε ἀπέδοντο Πραξί|ας, Εὔδοκος, Δαμαίνετος οἱ Θρασυκλέος, συνευδοκεούσας καὶ τᾶς μα|τρὸς αὐτῶν Ξενοφανέας, τῶι Ἀπόλ‖λωνι τῶι Πυθίωι σῶμα γυναικεῖον | ἇι ὄνομα Δαρδάνα τὸ γένος Δαρδάναν, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, | καὶ τὰν τιμὰν ἔχοντι πᾶσαν· βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Ξε‖νόκριτος Στησιμένεος· ἐφ' ὅτωι ἐλευθέραν εἶμεν Δαρδάναν καὶ ἀνέφα|πτον ἀπὸ πάντων, ποιοῦσαν ὅ κα θέλη | καὶ ἀποτρέχουσαν οἷς κα θέλη. εἰ δέ | τις ἐφάπτοιτο Δαρδάνας ἐπὶ κατα‖δουλισμῶι, κύριος ἔστω ὁ παρατυχὼν συλέων Δαρδάναν ὡς ἐλευθέραν οὖσαν ἀζάμιος ὢν πάσας δίκας καὶ ζαμίας, καὶ ὁ βεβαιωτὴρ βε‖βαιούτω καὶ οἱ ἀποδόμενοι βέβαιον ‖ παρεχόντω τῶι θεῶι τὰν ὠνάν. μάρ|τυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄθαμβος Ἁβρομάχου καὶ οἱ ἄρχοντες | Κλέων, Ταραντῖνος καὶ ἰδιῶται | Πατρέας Ἀνδρονίκου, Βαβύλος ‖ Ἀνδρομένεος, Ἕβρος, Ἡρακλέ|ων, Φίλιστος, Ξενόκριτος Στη|σιμένεος, Καλλίας Δίωνος.

Z. 6/7 *Pomtow Πραξί|ας, C.-B. Πρα|ξίας.* — 9 *Pomtow Ξενοφανεί|ας.*

C.-B. °*φανέας*. — 17 und 18 *Pomtow θέλη*, *C.-B. θέλῃ*. — 22/23 *Pomtow δί|κας*, *C.-B. πάσας | δί|κας*. — Aus demselben Semester stammt No. 1692, wo beide Priester genannt werden. Übrigens ist der Bürge besonders unter den Zeugen genannt.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

2195 *Pomtow* (48): *C.-B.* 93.

Ἄρχοντος Ταραντίνου μη|νὸς Θεοξενίου, βουλευόντων | Φιλαιτώλου, Δάμωνος, Κλεοδάμου, | Δάμωνος, ἐπὶ τοῖσδε ἀπέδοντο ‖ Εὐάγγελος καὶ Φιλώ, συνευαρε|στέοντος καὶ τοῦ υἱοῦ αὐτῶν | Μεγάρτα, τῶι Ἀπόλλωνι τῶι Πυ|θίωι σῶμα γυναικεῖον ἇι ὄνομα | Βώτα, τιμᾶς ἀργυρίου μνᾶν τεσ‖σάρων, καὶ τὰν τιμὰν ἔχοντι πᾶ|σαν. βεβαιωτὴρ κατὰ τοὺς νόμο|υς τᾶς πόλιος· Εὐκλείδας Αἰακί|δα, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν | Βώταν καὶ ἀνέφαπτον ἀπὸ πάν‖των, ποιοῦσαν ὅ κα θέλῃ. εἰ δέ | τις ἐφάπτοιτο Βώτας ἐπὶ κατα|δουλισμῶι, κύριος ἔστω ὁ παρα|τυχὼν συλέων Βώταν ὡς ἐλευ|θέραν οὖσαν ἀζάμιος ὢν πάσας ‖ δίκας καὶ ζαμίας καὶ ὁ βεβαιωτὴρ | βεβαιούτω καὶ οἱ ἀποδόμενοι | βέβαιον παρεχόντω τῶι θεῶι | τὰν ὠνάν. μάρτυροι· οἱ ἱαρεῖς Ἐμ|μενίδας, Λαιάδας, ἰδιῶται Πάτρων, ‖ Ὀρθαῖος, Σάτυρος.

Über *Βώτα* s. 2173.

Zeit. Priesterschaft XV (c. 50 vor Chr.).

2196 *Pomtow* (49): *C.-B.* 26.

Ἄρχοντος Δαμοστράτου [μην]ὸς | Θευξενίου, βουλευόντων τὰν δευτέραν ἑξά|μηνον Ἀθάμβου τοῦ Ἁβρομάχου, Γλαύκου τοῦ Ξένω|νος, γραμματεύοντος Σωξένου τοῦ Ἐχεφίλου, ἐπὶ τοῖσδε ‖ ἀπέδοτο Φίλιστος, συνευδοκέοντος καὶ τοῦ υἱοῦ αὐ|τοῦ Εὐαγγ[έλου], τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖ|ον ᾧι ὄν[ομα] Πυῤῥίας τὸ γένος Βαστάρνας ἐπ' ἐλευθερίαι, | τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Πυῤῥίας τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθε‖ρος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιέων ὅ κα θέλῃ καὶ ἀποτρέχων οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Καλλιάδης Καλλιδάμου. εἰ δέ | τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόν|των τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Φίλιστος καὶ ὁ βε‖βαιωτὴρ Καλλιάδης. εἰ δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. | ὁμοίως δὲ

καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων | συλέοντες Πυῤῥίαν ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ἐόν|τες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· ‖ τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας, Ἀνδρόνικος καὶ οἱ ἄρ|χοντες Ἄθαμβος, Γλαῦκος, Σώξενος καὶ ἰδιῶται Ναυκράτης, Ἄσμων, Ταραντῖνος, Πρόθυμος, Τιμόκριτος.

C.-B. geben *τῶι θε|ῶι* bis *ἐόντων* | als éine Zeile. Danach hätte Z. 16 im ganzen 85 Zeichen, während Z. 14 nur 44, 15 und 18 nur 42 haben, wäre also gerade noch einmal so gross als die andern. Deshalb vermute ich, dass der Divisor vergessen ist; ich habe ihn nach *πόλιος* gesetzt und rechne somit 22 st. 21 Zeilen. — Z. 12 *Καλλιάδης*, auch Z. 15 mit *η*. Ist die Abschrift richtig? — 22 *Ἄσμων* vgl. 1764, 8.

Zeit. Priesterschaft VI (etwa 150—140).

2197 *Pomtow* (50): *C.-B.* 25.

Ἄρχοντος Δαμοστράτου μηνὸς Θευξενίου, βουλευόν|των τὰν δευτέραν ἑξάμηνον Ἀθάμβου τοῦ Ἁβρομάχου, Γλαύ|κου τοῦ Ξένωνος, γραμματεύοντος Σωξένου τοῦ Ἐκεφύλου, | ἐπὶ τοῖσδε ἀπέδοτο Κλέων Κλευδάμου, συνευδοκεόντων ‖ καὶ τῶν υἱῶν αὐτοῦ Κλευδάμου καὶ Παρνασίου, τῶι Ἀπόλλ⟨λ⟩ω|νι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Νικάνωρ τὸ γένος οἰ|κογενῆ, τιμᾶς ἀργυρίου μνᾶν δέκα, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, | καθὼς ἐπίστευσε Νικάνωρ τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύ|θερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιέ‖ων ὅ κα θέλῃ καὶ ἀποτρέχων οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νό|μον τᾶς πόλιος· Εὐκράτης Καλλίκωνος. εἰ δέ τις ἅπτοιτο ἐπὶ κα|ταδουλισσμῶι Νικάνορος, βέβαιον παρεχέτω τῶι θεῶι τὰν ὠνὰν | ὅ τε ἀ[(πε)]οδόμενος Κλέων καὶ ὁ βεβαιωτὴρ Εὐκράτης. εἰ δὲ μὴ παρέ|χοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων Νικάνορι ‖ ἀργυρίου μνᾶν δεκαπέντε. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | κύριοι ἐόντων συλέοντες Νικάνορα ὡς ἐλεύθερον ἐόντα | ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. κύρι|ος δὲ ἔστω Νικάνωρ ὧν κέκτηται τῶν τε σωμάτων καὶ τῶν | ὑπαρχόντων πάντων, καὶ ὁ βεβαιωτὴρ βέβαια παρεχέτω ‖ ⟨ὁ⟩ αὐτὸς Νικάνορι καὶ τοῖς ἐκγόνοις τοῖς Νικάνορος κατὰ | τὸν νόμον τᾶς πόλιος. μάρτυροι· Πραξίας καὶ ὁ ἄρχων Γλαῦκος Ξένωνος καὶ ἰδιῶται Πολύων Τιμοκλέος, Ἀμφίστρατος, | Λυσίμαχος, Φιλιστίων.

C.-B. Z. 13 „*ὅ τε ἀμοδόμενος* (sic) *Κλέων*". — Zur Zahl 15 in Z. 15 vgl. die gesetzliche Bestimmung *ἀποτεισάντων αὐτὰ καὶ τὰ ἡμιόλια* 2006, 8;

2012, 4. — Zu Z. 18 vgl. 1938, 20. — 20 *C.-B.* *ὁ αὐτός*, was auffällig: der Steinmetz wollte wohl aus Versehen nochmals das Subjekt einschlagen, merkte sein Versehen, tilgte aber *ὁ* nicht. — 5 *Ἀπόλλλωνι*, Druckfehler?

Zeit. Priesterschaft VI (etwa 150—140).

2198 *Pomtow* (51): *C.-B.* 69.

Ἄρχοντος Πύῤῥου μηνὸς Βοαθοίου, βουλευόντων τὰν πρώταν | ἑξάμηνον Κλέωνος τοῦ Πασίωνος, Μικκύλου τοῦ Εὐδόκου, γραμ|ματεύοντος δὲ Θευτίμου τοῦ Δίωνος, ἀπέδοτο Φιλαίτωλος Αἰακί|δα, συνευδοκέοντος καὶ τοῦ υἱοῦ Κλεοδάμου, τῶι Ἀπόλλωνι τῶι ‖ Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα Λέαινα τὸ γένος οἰκογενῆ, | τιμᾶς ἀργυρίου τριῶν ἡμιμναίων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, κα|θὼς ἐπίστευσε Λέαινα τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν | καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸμ πάντα χρόνον, ποιοῦσα ὅ κα θέλῃ καὶ | ἀποτρέχουσα οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· ‖ Ἀναξανδρίδας Αἰακίδα. εἰ δέ τις ἐφάπτοιτο ἐπὶ καταδουλισμῶι Λεαί|νας, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀποδόμενοι Φιλαί|τωλος καὶ Κλεόδαμος καὶ ὁ βεβαιωτὴρ Ἀναξανδρίδας. εἰ δὲ μὴ παρέχοιν | βέβαιον τὰν ὠνὰν τῶ θεῶι, πράκτιμοι ἔστων Μειδίαι μνᾶν τριῶν. ὁ|μοίως δὲ καὶ οἱ παρατυχόντες κύριοι ἐόντω συλέοντες Λέαιαν ὡς ἐ‖λευθέραν οὖσαν ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ | ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄρχων Καλλία, Ἄθαμβος | Ἁβρομάχου καὶ ὁ νεωκόρος Ἀτεισίδας καὶ οἱ βουλευταὶ Μικκύλος, Κλέ|ων καὶ ὁ γραμματεὺς Θεότιμος καὶ ἰδιῶται Φιλόνικος Μενεδά|μου, Δίων Ἐπισθένεος, Ἀρίσταρχος Ζωπύρου, Κλεοξενίδας Ἀθανί‖ωνος, Σωτύλος Ἡράκωνος, Ἀντιγένης Προστατείρου, Ἀρίστων Ἀ|γαθοκλέος, Βαβύλος Ἀνδρομένεος.

Zum Construktionswechsel in *ποιοῦσα* Z. 8 vgl. 1854, 17; 2213, 8. — Z. 13 *τῶ* st. *τῶι*, sonst ist Jota adscr. immer geschrieben. — *Θεό-* und *Θευ-τιμος* (Z. 3 und 18) wechseln bei derselben Person; vgl. *Κλεό-* und *Κλεύδαμος* 2153, oben (Z. 4 und 12) nur *Κλεόδαμος*.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

2199 *Pomtow* (52): *C.-B.* 84.

Ἄρχοντος Διονυσίου μηνὸς Ἐνδυσποι|τροπίου, βουλευόντων Πάτρωνος, Ἁγίωνος, | Φιλιστίωνος, Πάτρωνος, ἀπέδοτο Θεοδώρα | Ἀρχία, συνευαρεστεούσας καὶ τᾶς θυγατρὸς ‖ αὐτᾶς

Μεγίστας, τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα γυναικεῖον ἇι ὄνομα Ἀπολλωνία. παρα|μεινάτω δὲ Ἀπολλωνία Θεοδώραι ἕως κα ζῆι | ποιοῦσα πᾶν τὸ ἐπιτασσόμενον τὸ δυνατόν. εἰ | δὲ μὴ ποέοι, ἐξουσίαν ἐχέτω Θεοδώρα ἐπιτι||μέουσα τρόπωι ὧι κα θέλῃι. εἰ δὲ θέλοι προαπελθεῖν | Ἀπολλωνία, δότω Θεοδώραι ἀργυρίου μνᾶς τρεῖς | καὶ ἀπολελυμένα ἔστω τᾶς παραμονᾶς. βεβαιω|τήρ· Δάμων Μένητος. εἰ δέ τις ἐφάπτοιτο ἐπὶ κα[ταδουλισμῶι], | βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀπο||δομένα καὶ ὁ βεβαιωτήρ. ὁμοίως δὲ καὶ ὁ παρατυχὼν | κύριος ἔστω συλέων Ἀπολλωνίαν ἐπ' ἐλευθερίαι | ἀζάμιος ὢν καὶ ἀνυπόδικος. μάρτυροι· οἵ τε ἱερεῖς | τοῦ Ἀπόλλωνος Λαιάδας, Ἐμμενίδας· | Ξενόκριτος, Ἐράτων.

Z. 10/12 vgl. mit 2192, 8/10. — 17 *τε* ohne folgendes *καί* vgl. 2150, 15. — Z. 6 fehlt der Preis. — Vgl. 2200, wo ein Nachtrag zu 2199 steht.

Zeit. Priesterschaft XV (c. 50 vor Chr.).

2200 *Pomtow* (53): *C.-B.* 85.

Ἐπὶ δὲ ἄρχοντος [Κλ]εομ[άν]τιος τοῦ Δ[ίων]ος | μηνὸς Ἰλαίου, Θεοδώρα ἀπέλυσε τᾶς παρα|μονᾶς Ἀπολλωνίαν, λαβοῦσα μνᾶς τρεῖς, συνπαρούσας καὶ συναρεστεούσας καὶ τᾶς || ματρὸς Σωπάτρας. μάρτυροι· οἱ αὐτοί.

Diese Nr. ist ein Nachtrag zu 2199; daher *δὲ* im Anfange; beide stehen auf dem Steine dicht neben einander (vgl. 2167/2168; 1918/1919). Die Ergänzung des Archonten ist von *C.-B.* Woher sie sie nahmen, weiss ich nicht. Bisher ist ein *Κλεόμαντις Δίωνος* (s. 2211, 3) 2267 und 2294 B bezeugt: beide aus Pr. XVIII. Das wäre für den Nachtrag zu spät. Pomtow führt unsere Nummer Jhrb. 35, 524 als zu Pr. XV gehörig an. — Ob Z. 4 *συν(ευ)αρεστ°*? Beide Participia auch z. B. 2210, 2.

Zeit. Priesterschaft XV (c. 50 vor Chr.).

2201 *Pomtow* (54): *C.-B.* 86.

Ἄρχοντος Διονυσίου μηνὸς Ἐνδυσ|ποιτροπίου, βουλευόντων Πάτρωνος, | Ἁγίωνος, Φιλιστίωνος, Πάτρωνος, ἀπέ|δοντο Νικίας καὶ Δαμὼ οἱ Κλέωνος, συν||ευαρεστέοντος καὶ τοῦ ἀνδρὸς αὐτᾶς Πά|τρωνος τοῦ Ἀριστοβούλου, τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα ἀνδρεῖον παιδάριον ὧι ὄνο|μα Φίλιστος, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, | καὶ τὰν τιμὰν ἀπέχοντι πᾶσαν. βεβαιωτήρ· || Δάμων Μένητος. εἰ δέ τις ἐφάπτοιτο Φιλίστου | ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων | τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀποδόμενοι καὶ ὁ | βεβαιωτήρ. ὁμοίως δὲ καὶ ὁ παρατυχὼν κύρι|ος ἔστω συλέων Φίλιστον ἐπ' ἐλευθερίαι || ἀζάμιος ὢν

καὶ ἀνυπόδικος πάσας δίκας | καὶ ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλ|λωνος Λαιάδας, Ἐμμενίδας, ἰδιῶται Ξενό|κριτος, Καλλίστρατος, Κλέων, Σωτήριχος | καὶ Ἡρακλείδας οἱ Προθύμου καὶ οἵδε [Ἀμ]φισεῖς ‖ Ἀγακλῆς, Τιμάνωρ.

Die Freilasserin ist die Frau des 1. Buleuten (vgl. 2167, 8).

Zeit. Priesterschaft XV (c. 50 vor Chr.).

2202 *Pomtow* (55): *C.-B.* 38.

Ἄρχοντος ἐν Δελφοῖς Δαμοσθένεος μηνὸς Ποιτροπίου, βου|λευόντων τὰν πρώταν ἑξάμηνον Φιλαιτώλου τοῦ Φαίνιος, | Τιμοκλέος τοῦ Θρασέα, γραμματεύοντος Ἀναξανδρίδα | τοῦ Αἰακίδα, ἐν δὲ Ἀμφίσσαι ἄρχοντος Ξενοδόκου τοῦ Ἀ|λέξιος, θεοκολέοντος δὲ Δάμωνος τοῦ Δαμοξένου μη|νὸς Παναγυρίου, ἀπέδοτο Ἀριστίων Ἀναξανδρίδα | Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι καὶ τῶι Ἀσκλαπιῶι | τῶι ἐν Ἀμφίσσαι παιδάριον οἰκογενές, ὧι ὄνομα Ἀπολλώ|νιος, τιμᾶς ἀργυρίου μνᾶν τριῶν καὶ ἡμιμναίου, καὶ τὰν ‖ τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Ἀπολλώνιος τοῖς θε|οῖς τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος ἔσται καὶ ἀνέφαπτος ἀ|πὸ πάντων τὸν πάντα χρόνον. βεβαιωτῆρες κατὰ τοὺς | νόμους τᾶν πολίων· Κλέανδρος Ἀμφισσεύς, Εὐάγγελος Δελ|φός. εἰ δέ τίς κα ἐφάπτηται Ἀπολλωνίου ἐπὶ καταδουλισμῶι, βέβαιον παρε‖χόντων τοῖς θεοῖς τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἀριστίων καὶ οἱ βεβαιωτῆ|ρες Κλέανδρος καὶ Εὐάγγελος κατὰ τοὺς νόμους τᾶν πολίων. ὁμοίως δὲ καὶ | οἱ παρατυγχάνοντες τῶν ἰδιωτᾶν κύριοι ἐόντων συλέοντες Ἀπολλώνιον | ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι τοὶ συ|λέοντες πάσας δίκας καὶ ζαμίας. παραμεινάτω δὲ Ἀπολλώ‖νιος παρὰ Ἀριστίωνα καὶ Νικὼ ἄχρι οὗ κα ζώηι Ἀριστίων καὶ Νι|κὼ ποιῶν τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατόν. εἰ δέ κα μὴ παραμέ|νηι καθὼς γέγραπται, κύριος ἔστω Ἀριστίων κολαζόμενος Ἀ|πολλώνιον τρόπωι ὧι κα θέληι. μὴ ἐξέστω δὲ Ἀπολλωνίωι μή|τε δόσιν τῶν ἰδίων μηθενὶ δό[μεν] μήτε υἱοποιήσασσθαι ‖ μηθένα, εἴ κα μὴ ἐξ αὐτοῦ γένηται. εἰ δὲ μή, τὰ ὑπάρ|χοντα τὰ Ἀπολλωνίου, εἴ κά τι πάθηι Ἀπολλώνιος, | Βαβύλου καὶ Ἀναξανδρίδα καὶ Σωσιπάτρου | ἔστω καὶ τῶν ἐπινόμων τῶν Βαβύλου καὶ Ἀναξαν|δρίδα καὶ Σωσιπάτρου ἔστω. μάρτυροι· ὁ ἱερεὺς ‖ Ἄρχων καὶ ὁ νεωκόρος Μένης καὶ τῶν ἀρχόντων | Ἀναξανδρίδας, ἰδιῶται Δάμων Δαμοξένου, Εὔδικος, | Ἀλέξων Δάμωνος, Ἐρύμηλος, Δαμοκλῆς Ἀμφισσεῖς, | Εὔδοκος, Σέλευκος, Θεύδοτος, Ἄθαμ-

βος Ἀθανίω|νος Δελφοί. τὰν ὠνὰν φυλάσσοντι Μένης Δελφός, || Ἐρύμηλος Ἀμφισσεύς.

Bemerkenswert die Erwähnung des Asklepieions von *Ἄμφισσα* und dessen *θεοκόλος* (Z. 5 u. 7). — Z. 7 zwei Götter, wie 1810, 4. — Das Verbot des Vermächtnisses Z. 23 wie 1696, 13; 1759, 10; 1878, 14; 1891, 31 ff. — Zur Form *υἱοποιήσασσται* vgl. die medialen Imperative *γινέστω*, *φυλασσέστων* 2135, 3; 2141, 23. — 25 *C.-B.* ohne Komma nach *εἰ δὲ μή*. Das Subjekt des Nachsatzes h. in solchen Erbschaftsbestimmungen sonst *τὰ καταλειφθέντα ὑπάρχοντα* (1759, 8 ff.; 1878, 13 ff.). — Zur Bildung *Ἐρύ-μηλος* giebt Homer eine Parallele in *Ἐρύ-λαος* (*Π* 411).

Zeit. Priesterschaft VII (in der Zeit von 140—100).

2203 *Pomtow* (56): *C.-B.* 35.

Ἄρχοντος Δαμοσθένεος μηνὸς Ἀπελλαίου, βουλευόντων | τὰν πρώταν ἑξάμηνον Φιλαιτώλου τοῦ Φαίνιος, Τιμοκλέος τοῦ Θρασέα, γραμματεύοντος δὲ Ἀναξανδρίδα τοῦ Αἰακίδα, ἐπὶ τοῖσ|δε ἀπέδοτο Ἀριστόμαχος Ὀλυμπογένεος, συνευδοκεούσας || καὶ τᾶς γυναικὸς αὐτοῦ Ἀριστοῦς τᾶς Ἐπινόμου [ἐ]ούσας Ἀρι|στομάχου καὶ τοῦ υἱοῦ αὐτᾶς Πύῤῥου, τῶι Ἀπόλλωνι τῶι Πυ|θίωι σῶμα γυναικεῖον ἆι ὄνομα Ἀγαθὼ τὸ γένος Σύραν, τιμᾶς ἀρ|γυρίου μνᾶν πέντε καὶ ἡμιμναίου, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς | ἐπίστευσε Ἀγαθὼ τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶ|μεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιέουσα | ὅ κα θέληι καὶ ἀποτρέχουσα οἷς κα θέληι. βεβαιωτὴρ κατὰ τὸν | νόμον τᾶς πόλιος· Ἀρτεμίδωρος Ἀπολλωνίου. εἰ δέ τις ἅπτοι|το Ἀγαθοῦς ἐπὶ καταδουλισσμῶι, βέβαιον παρεχόντων τῶι | θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἀριστόμαχος καὶ ὁ βεβαιω||τὴρ Ἀρτεμίδωρος. εἰ δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠ|νάν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως | δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες Ἀγα|θὼ ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι | πάσας δίκας καὶ ζαμίας. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος || Ἄρχων καὶ οἱ ἄρχοντες Φιλαίτωλος, Τιμοκλῆς, Ἀναξαν|δρίδας καὶ ἰδιῶται Τιμόκριτος, Ἀριστόδαμος Ἄγωνος, Δαμάνθης, Λαιάδας, Εὐκλῆς.

Zeit. Priesterschaft VII (in der Zeit von 140—100).

2204 *Pomtow* (57): ders. Jhrb. 35, 537. *C.-B.* 94.

Ἄρχοντος ἐν Δελφοῖς Κλεοξενίδα μηνὸς Βοαθόου, ἐν δὲ Χαλείωι | Δάμωνος τοῦ Δαμοκλέος μηνὸς Βουκατίου, βουλευ-

όντων Καλλιστράτου, | Πολυτιμίδα, Πεισιστράτου, Κλέωνος, ἀπέδοτο Εὐταξία Σωσία, συνευ|αρεστεόντων καὶ τῶν υἱῶν αὐτᾶς Ξένωνος καὶ Βοΐσκου, τῶι Ἀπόλλωνι τῶι Πυ‖θίωι κοράσιον οἰκογενὲς ἇ ὄνομα Συνμαχία, τιμᾶς ἀργυρίου μνᾶν ἕξ, καὶ τὰν τι|μὰν ἀπέχει πᾶσαν, καθὼς ἐπίστευσε Συνμαχία τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧτε ἐλευθέ|ραν εἶμεν καὶ ἀνέφαπτον τὸν πάντα βίον, ποιοῦσα ὅ κα θέλῃ καὶ ἀποτρέχουσα | ἇ κα θέλῃ. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Νίκων Νικαίου. εἰ δέ τις | ἐφάπτοιτο ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶ θεῶ τὰν ὠνὰν ‖ αὐτά τε Εὐταξία καὶ οἱ υἱοὶ αὐτᾶς οἱ συναποδόμενοι καὶ ὁ βεβαιωτήρ. ὁμοίως δὲ καὶ | ὁ παρατυχὼν ἐξουσίαν ἐχέτω συλέων Συνμαχίαν ἐλευθέραν οὖσαν ἀζάμιος | ὢν καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος | Ἐμμενίδας καὶ Λαιάδας, ἰδιῶται⟨διωται⟩ Διονύσιος, Σώτηρος [Δε]λ[φο]ί, Χαλ(ει)εῖς δὲ | [Κλ]έων [

Genaue Nachbildung des Textes s. bei Pomtow S. 538.

Z. 2 *Δαμοκλέος P.* in Majuskel und *C.-B.*, *Δαμοκλέους P.* in der Umschrift. — 5 *ἇ P.*, *ἇι C.-B.*; ebenso Z. 8. — 6 *ἐφ' ὧτε P.*, *ὥιτε C.-B.* — 7 *βίον P.*, *χρόνον C.-B.*; dann *θέλῃ P.*, *θέλῃι C.-B.*, ebenso Z. 8. — 9 *παρεχόντω P.*, *°των C.-B.*; dann *τῶ θεῶ P.*, *τῶι θεῶι C.-B.* — 10 *αὐτά P.*, *ἁ C.-B.*; dann *συναποδόμενοι P.*, *ἀποδόμενοι C.-B.* — 12 *τοὶ P.*, *οἱ C.-B.* — 13 *[Δε]λ[φο]ί P.*, *Δελφοί C.-B.*, darauf *Χαλ(ει)εῖς δὲ [Κλ]έων P.*, *Χαλεῖς δὲ .... C.-B.* *P.* bemerkt: Wieviel Namen in Z. 14 noch folgten, war nicht festzustellen. — Zum Construktionswechsel in *ποιοῦσα* vgl. 1854, 17 u. o. — Der Name *Σώτηρος* auch 2168, 19.

Zeit. Priesterschaft XV (c. 50 vor Chr.).

2205 *Pomtow* (58): *C.-B.* 71.

Ἄρχοντος Ἀριστίωνος μηνὸς Βοαθοίου, ἀπέδοτο Δημήτρ|ιος] Δημη|τρίου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα γυναικεῖα αἷς ὀνόματα | Συνέτα, Σύνεσις, τὸ γένος Θρᾷσσαν, Σύνεσιν δ' ἐνδογενῆ, | τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσαν Συνέτα καὶ ‖ Σύνεσις τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὅτωι ἐλευθέρας εἶμεν καὶ ἀνε|φάπτους ἀπὸ πάντων, ποιούσας ὅ κα θέλωντι καὶ ἀποτρεχού|σας ἇι κα θέλωντι. βεβαιωτήρ· Ξένων Ἀριστοβούλου, κατὰ τὸν νό|μον. εἰ δέ τίς κα ἐφάπτηται Συνέτας ἢ Συνέσιος, βέβαιον παρεχέ|τω ὁ βεβαιωτήρ. εἰ δὲ μὴ παρέχηι, πράκτιμος ἔστω κατὰ τὸν νόμον. ‖ ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων ὡς ἐλευθερᾶν συλέοντες ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας | καὶ ζαμίας.

μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλ|λωνος Ἄρχων Καλλία, Ἄθαμβος Ἀβρομάχου· | [Ἁγίων Πο]λυκλείτου, Ταραντῖνος Μνασιθέου, Θεύτιμος ‖ [Δίωνος], Μένης Ἄνδρωνος, Κάλλων Νικία, Σωσίστρατος Ἀθανίωνος | καὶ τοὶ ἄρχοντες Σωσίπατρος, Πάτρων, Ἁγίων Ἐχεφύλου.

Wegen der Form Δημήτριος vgl. 1957, 7. — Z. 7 ἄι wie 2217, 11. — Zum conj. παρέχηι Z. 9 vgl. 2159, 15. — Z. 10/11 *C.-B.* ὡς ἐλευθέραν. Der Singular befremdet, da Mutter und Tochter immer (Z. 4—6, 8) gleich behandelt werden. Vollständig steht der gen. abs. 2126, 17/18; dass das Particip fehlt, hat in 2116, 2 eine Parallele. — 14/15 *C.-B.* Θεύτιμος | [.......]; ich ergänze nach 2198, 3; *C.-B.* richtig [Ἁγίων Πο]λυκλείτου, vgl. 2206, 14.

Zeit. Priesterschaft IX: September/October 126.

2206 *Pomtow* (59): *C.-B.* 70.

Ἄρχοντος Ἀριστίωνος τοῦ Ἀναξανδρίδα μηνὸς Δαιδαφορίου, βουλευόν|των τὰν πρώταν ἑξάμηνον Σωσιπάτρου τοῦ Αἰακίδα, Πάτρωνος τοῦ Ἰα|τάδα, γραμματεύοντος δὲ Ἁγίωνος τοῦ Ἐχεφύλου, ἐπὶ τοῖσδε ἀπέδοντο Ξέ|νων Ἀριστοβούλου καὶ Φιλοκράτης Θευφράστου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ‖ ἀνδρεῖον παιδάριον ὧι ὄνομα Σωσίνικος τὸ γένος οἰκογενῆ, τιμᾶς ἀργυρίου στα|τήρων εἴκοσι, καὶ τὰν τιμὰν ἔχοντι πᾶσαν, καθὼς ἐπίστευσε Σωσίνικος τῶι θε|ῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βί|ον, ποιῶν ὅ κα θέληι καὶ ἀποτρέχων οἷς κα θέληι. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· | Ξένων Ἀριστοβούλου. εἰ δέ τις ἐφάπτοιτο Σωσινίκου ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνάν. εἰ δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐ|όντων κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ἐόντες οἱ συλέοντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄρχων Καλλία, Ἄθαμβος Ἀβρομάχου καὶ οἱ | ἄρχοντες Σωσίπατρος, Πάτρων, Ἁγίων καὶ ἰδιῶται Τιμόκριτος, Ἁγίων Πολυκλείτου, Ἀτεισίδας.

Der Name des ersten Freilassers und der des Bürgen sind gleich: es ist wohl ein und dieselbe Person. Wahrscheinlich hatten in Folge verwandtschaftlicher Beziehungen beide Freilasser ein Recht auf den Sclaven, dieser stand aber zuletzt in Diensten des Φιλοκράτης. — Z. 9 *C.-B.* ἐφάπτοιπο Druckfehler. — Der letzte Zeuge ist der Nakoros.

Zeit. Priesterschaft IX: November/December 126.

2207 *Pomtow* (60): *C.-B.* 72.

Ἄρχοντος Ἀριστίωνος τοῦ Ἀναξανδρίδα μηνὸς Δαιδαφορίου, βου|λευόντων τὰν πρώταν ἑξάμηνον Σωσιπάτρου τοῦ Αἰακίδα, Πάτρω|νος τοῦ Ἰατάδα, γραμματεύοντος δὲ Ἁγίωνος τοῦ Ἐχεφύλου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀρτεμίδωρος Ἀπολλωνίου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶ|μα ἀνδρεῖον ὧι ὄνομα Ἀρίστων, τιμᾶς ἀργυρίου μνᾶν ὀκτώ, καὶ τὰν τι|μὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθε|ρος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιέων ὅ κα θέληι | καὶ ἀποτρέχων οἷς κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Κλέ|ων Κλευδάμου. εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι Ἀρίστωνος, ‖ βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος | Ἀρτεμίδωρος καὶ ὁ βεβαιωτὴρ Κλέων κατὰ τὸν νόμον τᾶς πό|λιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων | συλέοντες Ἀρίστωνα ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι | ἐόντες οἱ συλέοντες καὶ ἀνυπόδικοι πάσας ‖ δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς | τοῦ Ἀπόλλωνος Ἄρχων Καλλία, Ἄθαμβος | Ἁβρομάχου καὶ οἱ ἄρχοντες Σωσίπατρος Αἰ|ακίδα, Πάτρων Ἰατάδα, Ἁγίων Ἐχεφύλου | καὶ ὁ νεωκόρος Ἀτεισίδας καὶ ἰδιῶται Βαβύλος Αἰακίδα, Κλέων καὶ Δάμων οἱ ‖ Διονυσίου, Λαιάδας, Καλλίκων Εὐκράτεος.

C.-B. Z. 13 *συλέοντες.* — Was sie als Z. 19 geben, sind wohl zwei Zeilen auf dem Steine.

Zeit. Priesterschaft IX: November/December 126.

2208 *Pomtow* (61): *C.-B.* 109.

Ἄρχοντος ἐν ⟨Χαλεν⟩ Χαλείωι Μέμνονος | τοῦ Δάμωνος μηνὸς Κο(ο)υτίου, ἐν δὲ | Δελφοῖς ἄρχοντος Νικοστράτου τοῦ Ἄρ|χωνος μηνὸς Ἡραίου, βουλευόντων Πο‖λεμάρχου, Εὐκλείδα, ἀπέδοτο Εὐπορία | Δορκίνα Χαλῆϊς, συνευαρεστέοντος καὶ τοῦ υἱοῦ Ἡρακλείδα, τῶι Ἀπόλλωνι τῶι | Πυθίωι ἐπ'· ἐλευθερίαι παιδάριον οἰκογενές, ὧι ὄνομα Ἀφροδίσιος, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τιμὰν ἀπέχει πᾶσαν, ἐφ' ὧιτε εἶμεν Ἀφροδίσιον ἐλεύθερον καὶ ἀνέφα|πτον ἀπὸ⟨πο⟩ πάντων. παραμεινάτω δὲ Ἀφροδίσιος Εὐπορίαι καὶ Δαμοφάνει, ἕως κα ζῶ‖ντι, ποιῶν τὸ δυνατὸν πᾶν. εἰ δὲ μὴ παραμένοι καθὼς ἁ ὠνὰ περιέχει, ἐξουσίαν ἐχέτωσαν Εὐπορία καὶ Δαμοφάνης ἐπιτιμέοντες Ἀφροδίσιον ὧι κα προαιρέωνται τρό|πωι. βεβαιωτῆρες κατὰ τὸν νόμον· Ξενοκράτης Νίκωνος Χαλειεύς, Δελφὸς | δὲ Δίων Λαιάδα. τὰν ὠνὰν φυλάσσει Μνασίας

Μέμνονος Χαλειεύς, Δελφὸς δὲ | Πολέμαρχος Δάμωνος. μάρτυροι· Ἀλέξανδρος Ξενοκράτεος, Κλεοσθένης, Εὐάμερος, | Στέφανος.

Z. 2 *C.-B.* *Κουτίου*, vgl. *Κοουτίου* 1734 und 2146. — 3 Pomtow in Rh. Mus. 49, 607 *ἄ. Νικοστράτου*, *C.-B.* *Νεοστράτου*. — 10 singulär *περιέχει* (umfasst, begreift in sich) stipuliert.

Zeit. Priesterschaft XV (c. 50 vor Chr.).

2209 *Pomtow* (62): *C.-B.* 64.

Ἄρχοντος Σωσιπάτρου μηνὸς Ἀμαλίου, βου|λευόντων τὰν δευτέραν ἑξάμηνον Ἀμύντα τοῦ Εὐδώρου, Πάσωνος τοῦ Δαμένεος, | γραμματεύοντος δὲ Ξένωνος τοῦ Πολύωνος, ‖ ἐπὶ τοῖσδε ἀπέδοτο Σώστρατος Σωτύλου, συνευδο|κεόντων καὶ τῶν υἱῶν αὐτοῦ Σωτύλου καὶ Ἀρί|στωνος, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον | ᾇ ὄνομα Εἰράνα τὸ γένος Σύραν, τιμᾶς ἀργυρίου μνᾶν | τεσσάρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευ‖σε Εἰράνα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέ|ρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν | πάντα βίον, ποιέουσα ὅ κα θέλῃ καὶ ἀποτρέ|χουσα οἷς κα θέλῃ. βεβαιωτῆρες κατὰ τοὺς | νόμους τᾶς πόλιος· Τιμοκλῆς Πολύωνος, Τείσων Θευ|χάριος. εἰ δέ τις ἅπτοιτο Εἰράνας ἐπὶ καταδουλισ|μῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ τε | ἀποδόμενος Σώστρατος καὶ οἱ βεβαιωτῆ|ρες Τιμοκλῆς καὶ Τείσων. εἰ δὲ μὴ παρέ|χοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, πρά|κτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πό|λιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντω συλέοντες Εἰράναν ἐλευθέραν | ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπό|δικοι πάσας δίκας καὶ ζαμίας. παραμεινάτω ‖ δὲ Εἰράνα παρὰ Σώστρατον ἀπὸ τᾶς Σωσιπάτρου ἀρχᾶς μηνὸς Ἀμαλίου ἔτη δέκα ποιέουσα | τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως. εἰ δὲ μὴ ποιέοι ἦ μὴ παραμένοι Εἰράνα | παρὰ Σώστρατον, ἐξουσίαν ἐχέτω Σώστρατος ‖ ἐπιτιμ[έω]ν Εἰράναν. εἰ δέ τι ἀνθρώπινον γέ|νοιτο περὶ Σώστρατον πρὸ τοῦ τὰ δέκα | ἔτη διελθεῖν, ἐλευθέρα ἔστω Εἰράνα, | καθὼς ἐπάνω γέγραπται. μάρτυροι· | οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος καὶ οἱ ἄρχον‖τες καὶ ἰδιῶται Πολίτας, Διονύσιος, Δαμοφάνης.

Z. 5 Pomtow, Jhrb. 35, 560 *Σω[τύλ]ου*. — Der Passus *παραμεινάτω δὲ κτλ.* (Z. 24) ähnlich 1742, 8.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

2210 *Pomtow* (63): *C.-B.* 98.

Ἄρχοντος Πάσωνος μηνὸς Ἰλαίου, βουλευόντων Φιλιστίωνος τοῦ Διοκλέος, Ἁγίωνος τοῦ Λαιάδα, ἀπέδοτο Ἰράνα Νικία, συνευαρεστέοντος καὶ συν|παρόντος καὶ τοῦ ἀδελφοῦ αὐτᾶς Φιλονίκου τοῦ Νικία, τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα γυναικεῖον ἆι ὄνομα Πρέπουσα, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τιμὰν ἀπέχει πᾶσαν, καθὼς ἐν τᾶι παραμονᾶι γέγραπται ἀπολελυμέναν | εἶμεν, καὶ καθὼς ἐπίστευσε Πρέπουσα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὥιτε ἐλευ|θέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα βίον. βεβαιω|τὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Ἁβρόμαχος Ξεναγόρα. εἰ δέ τις | ἐφάπτοιτο Πρεπούσας ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων οἵ τε ἀποδόμενοι καὶ ὁ βεβαιωτὴρ βεβαιούτω. ὁμοίως δὲ καὶ ὁ παρατυχὼν κύριος ἔστω συλέων Πρέπουσαν | ἐλευθέραν ἀζάμιος ὢν καὶ ἀνυπόδικος πάσας δίκας καὶ | ζαμίας, καθώς κα συλάσηι. μάρτυροι· οἵ τε ἱερεῖς τοῦ Ἀπόλλω|νος Λαιάδας Βαβύλου, Νικόστρατος Ἄρχωνος κ' ἰδιῶται Δάμων ‖ Ὀρθαίου, Δάμων Ἀγάθωνος, Πολέμαρχος Δάμωνος, Δρομοκλείδας Πύῤῥου, Ἐράτων Κλέωνος.

Die Inschriften der Priesterschaft XVI nennen gewöhnlich 3 Buleuten (2100, 2150, 2151, 2178, 2259), hier begegnen nur 2. — Die Freilasserin h. so wie die in 1924, 2; sie sind nicht éine Person, gehören aber zu einem Geschlechte. Identisch ist sie mit der Freilasserin in 2192 (u. 2193 u. 2290). Denn unsere No. ist Nachtrag zu 2192: Z. 5 nimmt auf 2192, 8/10 Bezug. — Der Zusatz in Z. 13 *καθώς κα συλάσηι* auch z. B. 2256, s. Anm. — *C.-B.* 14 *κἰδιῶται*, vgl. 1755, 7; 1780, 5. Der 1. Name danach meint den Nakoros. — Bemerkenswert der Gebrauch vom Worte *παραμονά*: Z. 5 meint es die Urkunde 2192.

Zeit. Priesterschaft XVI (in der Zeit von 50—1).

2211 *Pomtow* (64): ders. Jhrb. 35, 542. *C.-B.* 107.

Ἄρχοντος Λαιάδα το[ῦ Ἄγωνος μ]ηνὸς Ἀπελλαίου, βουλευόντων Στρατάγου, Κλεοδάμου, Δάμωνος, | Ἡρακλείδα, ἐπὶ τοῖσδε [ἀπέδοτο Δεί]νων Δαμοστράτου, συνευαρεστεόντων καὶ τῶν υἱῶν αὐτοῦ Δαμο|στράτου καὶ Κλεομά[ντιος, τῶι Ἀπό]λλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον, ἆι ὄνομα Ἁρμοδίκα, τιμᾶς ἀργυρίου | μνᾶν ὀκτώ, καὶ τὰν τιμ[ὰν ἀπέχει πᾶ]σαν, ἐφ' ὥιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα βίον, ‖ ποιοῦσαν ὅ κα θέλη καὶ [ἀποτρέχουσαν οἷ]ς κα θέλη. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Ἀγ(α)θοκλῆς Ἀγαθοκλέος, καθὼς | ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν,

⟨[ἐφ' ὧιτε ἐλευθέ]ραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα βίον⟩. εἰ δέ τις ἐφάπτοιτο Ἁρμοδίκας ἐπὶ | καταδουλισμῶι, βέβαιον παρε[χόντων] τὰν ὠνὰν τῶι θεῶι ὅ τε ἀποδόμενος Δείνων καὶ ὁ βεβαιωτήρ. ὁμοίως δὲ καὶ ὁ παρατυχὼν | κύριος ἔστω συλέων Ἁρμοδίκαν ἐπ' ἐλευθερία ἀζάμι|ος ὢν καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. μάρτυ‖ροι· Λαιάδας Βαβύλου, Καλλικράτης, Διονύσιος, Δωρόθε|ος, Δάμων.

Die Lücken in Z. 1—7 sind, wie Pomtow Beitr. 98 Anm. 1 u. Jhrb. a. a. O. zeigt, dadurch entstanden, dass man beim Bau eines modernen Hauses hier ein Versatzloch einschlug.

Z. 1 Vatersname nach 2106, 1 eingesetzt. Pomtow *Ἄγωνος*. — 3 *C.-B.* *Κλεομά[χου]*, *Κλεομά[ντιος* Pomtow Jhrb. 40, 842 nach 2267, 1. Vgl. zu 2200. Ist z. B. Archont 2267. — 5 *P.* *θέλη*, *C.-B.* *θέληι* zweimal. — Dann *P.* *Ἀγ(α)θοκλῆς*, *C.-B.* *Ἀγαθ°*. — 6 ⟨ — ⟩ „irrtümlich vom Steinmetzen oder auch vom Concipienten des Textes wiederholt“ *P.* — 7 *P.* *παρε[χόντων]*, *C.-B.* *π[αρεχόντων]*. — 8 *P.* *ἐλευθερία*, *C.-B.* *°ρίαι*.

Zeit. Priesterschaft XIV (in der Zeit von 100—50). Pomtow, Jhrb. 35, 540 Anm. 21.

2212 *Pomtow* (65): *C.-B.* 82.

Ἄρχοντος Φιλονίκου τοῦ Νικία, βουλευόντων Εὐκλείδα, Δάμωνος, | Πάτρωνος, Στράτωνος, ἀπέδοτο Ἑλένα Διοσκουρίδα, συνευαρεστεόντων καὶ τῶν υἱῶν αὐτᾶς Μενεμάχου καὶ Μενάνδρου, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα Ἐπίκτησις τὸ γένος Βωτάν, ‖ τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπί|στευσε Ἐπίκτησις τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφα|πτον ἀπὸ πάντων τὸν πάντα βίον καὶ ἀποτρέχουσα ἆι κα θέληι. βεβαιωτὴρ | κατὰ τοὺς νόμους τᾶς πόλιος· Δάμων Ἀγάθωνος. εἰ δέ τις ἐφάπτοιτο Ἐπι|κτήσιος ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχέτωσαν τῶι θεῶι τὰν ὠνὰν οἵ τε ‖ ἀποδόμενοι καὶ ὁ βεβαιωτήρ. ὁμοίως δὲ καὶ ὁ παρατυχὼν κύριος ἔστω συλέ|ων ἐλευθέραν ἀζάμιος ὢν καὶ ἀνυπόδικος. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος | Ἐμμενίδας, ἰδιῶται Λαιάδας, Πύῤῥος, Φίλων, Σάτυρος.

Z. 4 *Βωτάν*, auch 2151 Ethnikon. *Βώτα* begegnet 2195 als Name einer Sclavin. — Zum Construktionswechsel in *ἀποτρέχουσα* Z. 7 vgl. 1854, 17 u. a. — Der Monat fehlt Z. 1.

Zeit. Priesterschaft XIV (in der Zeit von 100—50).

2213 *Pomtow* (66): *C.-B.* 24.

Ἄρχοντος Θρασυκλέος μηνὸς Βοαθόου, ἀπέ|δοτο Πολύξενος

Ζηνέα καὶ Ξενοχάρης Πολυξέ|νου σῶμα γυναικῆον κοράσιον ἇι ὄνομα Ἀριστό|κληα ἐνδογενῆ τῶι Ἀπόλλωνι τῶι Πυθίωι, κα||θὼς ἐπίστευσε Ἀριστόκληα τῶι θεῶι τὰν ὠνάν, | ἀργυρίου στατήρων τετταράκοντα, καὶ τὰν τιμὰν ἔ|χοντι, ἐφ' ὧι ἐλευθέραν εἶμεν Ἀριστόκληαν καὶ ἀνέ|φαπτον ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιοῦ|σα ὅ κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον· Στρά||ταρχος Τηλεφάνεος. εἰ δέ τις ἐφάπτοιτο Ἀριστο|κλείας ἐπὶ καταδουλισμῶι, κύριος ἔστω ὁ παρα|τυχὼν συλέων, καὶ αὐτὰ Ἀριστόκληα αὑσαυτάν, | ἀνυπόδικος ὢν καὶ ἀζάμιος ὁ συλάσας, καὶ ὁ βε|βαιωτὴρ καὶ οἱ ἀποδόμενοι βέβαιον παρεχόν||των τῶι θεῶι τὰν ὠνάν. μάρτυροι· οἱ ἱερεῖς | τοῦ Ἀπόλλωνος Πραξίας, Ἀνδρόνικος καὶ ὁ νεω|κόρος Μένης, ἰδιῶται Δρομοκλείδας, Εὐκράτης.

Ἀριστόκληα wechselt mit *Ἀριστόκλεια* (Z. 10): jene Orthographie in demselben Namen 1825, 2; vgl. *Ἱερόκληα* 1918 und 1919; *γυναικῆον* 1973; 2141. — Zu *τετταράκοντα* Z. 6 vgl. 1878, 11; 2164, 3. — Zu *ποιοῦσα* Z. 8 vgl. 1854, 17; 1911, 7; 2198, 8; 2248, 7.

Z. 9/10. Ist *Στράταρχος* richtig? 1704, 2 h. ein Freilasser *Στράταγος Τηλεφάνεος*, und auch sonst begegnet dieser Name öfter.

Zeit. Priesterschaft VI (etwa 150—140).

2214 *Pomtow* (67): *C.-B.* 51.

Ἄρχοντος ἐν Δελφοῖς Κλεοδάμου μη|νὸς Ἀπελλαίου, βουλευόντων τὰν πρώταν ἑξάμη|νον Σωστράτου τοῦ Σωτύλου, Ἁγίωνος τοῦ Δρομοκλείδα, | Δαμοσθένεος τοῦ Ἄρχωνος, ἐν δὲ Ἐλατείαι ἄρχοντος Εὐ[κλεί]||δα τοῦ Πυθέα μηνὸς δεκάτου, ἀπέδοτο Ἀφθόνητος Πραξία | Ἐλατεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνο|μα Διονυσία, τιμᾶς ἀργυρίου μνᾶν τεττάρων, καθὼς ἐπίστευσε | Διονυσία τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀ|νέφαπτον ἀπὸ πάντων τὸν πάντα βίον, ποιοῦσαν ὅ κα θέληι καὶ || ἀποτρέχουσαν οἷς κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον· Ἀριστοκράτης Κλεωνύμου Ἐλατεύς. εἰ δέ τις καταδουλίζοιτο Διονυ|σίαν, βέβαιον παρεχέτω ὅ τε ἀποδόμενος Ἀφθόνητος καὶ ὁ βεβαιωτὴρ Ἀριστοκράτης. εἰ δέ κα μὴ παρέχωντι, πράκτιμοι ἐόντων | κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόν||των συλέοντες ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Δρομοκλείδας Ἁγίωνος, Ἄρχων Καλλία καὶ οἱ | ἄρχοντες Δαμοσθένης, Ἁγίων Δρομοκλείδα· Μένης, Ἄθαμ-

βος Ἀθανίωνος Δελφοί, Ἀρχώνδας Βουλάρχου, Φιλόξε‖νος Κάλλωνος, Γοργίλας Μενεσθένεος, Ἀντικράτης | Ἐλατεῖς.

Z. 4/5 Ergänzung von *C.-B.* — Wegen *τεττάρων* vgl. 2164, 3. — Z. 18 *C.-B.* nach *Δρομοκλείδα* keine stärkere Interpunktion, so dass die Archonten nicht bestimmt erscheinen. Vgl. Z. 3/4.

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2215 *Pomtow* (68)[1]: *C.-B.* 37.

Ἄρχοντος Δαμοσθένεος μηνὸς Ἡρακλήου, βουλευόν|των τὰν δευτέραν ἑξάμηνον Ἀθάμβου τοῦ Ἀβρομάχου, | Ἐμμενίδα τοῦ Καλλία, Ἀντιγένεος τοῦ Διοδώρου, ἐπὶ τοῖσδε | ἀπέδοτο Νίκαια Καλλία τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναι‖κεῖον ἆι ὄνομα Καλλιόπα τὸ γένος οἰκογενῆ, τιμᾶς ἀργυ|ρίου μνᾶν τεττάρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐ|πίστευσε Καλλιόπα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα | εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιέου|σα ὅ κα θέλῃ καὶ ἀποτρέχουσα οἷς κα θέλῃ. βεβαιωτῆρες κα‖τὰ τὸν νόμον τᾶς πόλιος· Σωσίξενος Ξένωνος, Τείσων | Θευχάριος. εἰ δέ τις ἅπτοιτο Καλλιόπας ἐπὶ καταδουλι|σμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀπο|δομένα Νίκαια καὶ οἱ βεβαιωτῆρες Σωσίξενος καὶ Τεί|σων. εἰ δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτι‖μοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ | οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες Καλλιό|παν ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδι|κοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄρχων καὶ ἰδιῶται Τιμοκλῆς Πολύωνος, Ἄσανδρος, Χαρίξε|νος, Ὀρθαγόρας, Ἀρίστων Ὀρθαγόρα, Πολέμαρχος Χαριξένου, | Τιμόκριτος, Ξένων Σωσιξένου, Δίων Ἐπισθένεος.

Zur Schreibung *Ἡρακλήου* Z. 1 vgl. 2020, 1. — Z. 6 *τεττάρων* vgl. 2164, 3 Anm. — Zur Betonung *Νίκαια* vgl. 2257 Anm.

Zeit. Priesterschaft VII (in der Zeit von 140—100).

2216 *Pomtow* (70): *C.-B.* 67.

Ἄρχοντος [Ἀ]τεισίδα μηνὸς Ποιτροπίου, ἀπέδοτο Νικασὼ Νίκωνος τῶι Ἀπόλλ[ωνι] τῶι Πυθίωι σῶμα γυναικεῖον οἰκο[γενῆ] | ἆι ὄνομα Λαμία, τιμᾶς ἀργυρίου μνᾶν πέντε, [καὶ τὰν] | τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπί[στευσε] Λαμία τῶι

[1]) Pomtow (69) von *C.-B.*, weil unleserlich, weggelassen. S. S. 475.

θεῶι ‖ τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάν|των τὸν πάντα χρόνον, ποιοῦσα ὅ κα θέλῃ. βεβαιωτὴρ κατὰ | τοὺς νόμους τᾶς πόλιος· Κλέων Ἥρυος. εἰ δέ τις ἐφάπτοιτο ἐπὶ | καταδουλισμῶι Λαμίας, βέβαιον παρεχέτω τὰν ὠνὰν τῶι θεῶι | ἅ τε ἀποδομένα Νικασὼ καὶ ὁ βεβαιωτὴρ Κλέων. εἰ δὲ μὴ παρέ‖χοιν βέβαιον τὰν ὠνὰν τῶι θεῶι ἅ τε ἀποδομένα | Νικασὼ καὶ Λεοντὶς καὶ ὁ βεβαιωτὴρ Κλέων, πρά|κτιμοι ἔστωσαν Λαμίαι ἢ ὧι κα Λαμία θέλῃ ἑκάτεραι | καὶ ὁ βεβαιωτὴρ ἀργυρίου μνᾶν δέκα, καὶ ὁμοίως | ὁ παρατυχὼν κύριος ἔστω συλέων Λαμίαν ὡς ἐ‖λευθέραν οὖσαν καὶ ὁ συλάσας [ἀζά]μιος ἔστω καὶ ἀ|νυπόδικος πάσας δίκας καὶ ζαμί[ας. π]αραμεινάτω δὲ | Λαμία παρὰ Νικασώ, ἕως κα Νικα[σὼ ζώ]ῃ, ποιοῦσα τὸ ἐπι|τασσόμενον πᾶν. εἰ δὲ μὴ παραμένῃ Λαμία παρὰ Νι|κασώ, κυρία ἔστω Νικασὼ καὶ ἄλλος ὅν κα Νικασὼ ‖ θέλῃ Λαμίαν μαστιγοῦσα καὶ διδεῖσα καὶ ἄλλο ὅ κα θέ|λῃ ποιοῦσα. μάρτυροι· Ἀρίστων Δ[α]μοφάνεος, Νικάτας, | Σωσίπατρος, Ἡρακλείδας, Εὐκλείδας Καλλείδα καὶ ὁ ἄρχων | Καλλίκων Εὐκράτεος.

Z. 11 *Λεοντίς* ist gewiss die Tochter der Freilasserin. Ähnlicher Fall 2198, 12 u. o. — Zu *ἑκάτεραι* (Z. 12) vgl. 2183, 8; zu *ὁ συλάσας* (Z. 15) vgl. 2256 Anm.; zum Conj. nach *εἰ* (Z. 18) vgl. 2019, 11; 2159, 15; 2168, 12. — Das Präsens **δί-δη-μι* „ich binde" (Z. 20) hat in *δίδη Λ* 105 und *διδέντων μ* 54 Parallelen. Vgl. 2156, 18 *διδέντες*, 2171, 10 *διδέουσα*.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

2217 *Pomtow* (71): *C.-B.* 30.

Ἄρχοντος Δαμοστράτου μηνὸς Βοαθόου, βουλευόντων τὰν | πρώταν ἑξάμηνον Σωστράτου τοῦ Σωτύλου, Ἡρακλείδα τοῦ | Καλλία, γραμματεύοντος δὲ Πυῤῥία τοῦ Ἀρχελάου, ἐπὶ τοῖσδε | ἀπέδοτο Αἰνήσιον Αἰακίδα, συνευδοκέοντος καὶ Φιλοδάμου τοῦ Δώρωνος τοῦ ἀνδρὸς τοῦ Αἰνησίου, | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Σωσι|κράτεια, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων καὶ ἡμιμναίου, καὶ | τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Σωσικράτεια τῶι | θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀ‖πὸ πάντων τὸν πάντα χρόνον, ποιέουσα ὅ κα θέλῃ καὶ ἀποτρέ|χουσα ἇι κα θέλῃ. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Αἰα|κίδας Φιλαιτώλου. εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι Σωκρατείας, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα Αἰνήσιον καὶ ὁ βεβαιωτὴρ Αἰακίδας. εἰ δὲ μὴ παρέχοιν

| *βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | κύριοι ἐόντων συλέοντες Σωσικράτειαν ὡς ἐλευθέραν | ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δί|κας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Πρα||ξίας Εὐδόκου, Ἀνδρόνικος Φρικίδα καὶ οἱ ἄρχοντες τᾶς | πόλιος Σώστρατος, Ἡρακλείδας, Πυῤῥίας, ἰδιῶται Φιλαίτω|λος Αἰακίδα, Μαντίας Κλευδάμου, Λαιάδας Βαβύλου, | Ἀγαθοκλῆς Ἁρμοδίου, Εὐχαρίδας καὶ Γοργίλος | οἱ Φαίνιος, Τιμόκριτος Εὐκλείδα, Ἀριστό|μαχος Ὀλυμπογένεος.*

Zu Z. 11 *ἅι* vgl. 1824, 5; 1825, 5 *ἁ κα θέλῃ*; 2181, 8; 2205, 7; 2260, 8 *ἅι κα θέλῃι*.

Zeit. Priesterschaft VI (etwa 150—140).

2218 *Pomtow* (72): *C.-B.* 66.

Ἄρχοντος Σωσιπάτρου μηνὸς Δαιδα|φορίου, βουλευ[όντ]ων τὰν πρώταν ἑξάμηνον Ἀντιγένεος τοῦ Διοδώρου, Ἁγίωνος | τοῦ Κλευδάμου, γραμματεύοντος δὲ Ὑβρία τοῦ || Ξένωνος, ἐπὶ τοῖσδε ἀπέδοτο Ψιθύρα Νικο|λάου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναι|κεῖον ἅι ὄνομα Καλλὼ τὸ γένος | [Κ]ολχίδ[α], τιμᾶς ἀργυρίου | μνᾶν πέντε, καὶ τὰν || τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπί|στευσε Καλλὼ τῶι [θεῶι] τὰν ὠνάν, ἐφ᾽ ὧι|τε ἐλευθέρα εἶμεν καὶ ἀνέφα|πτος ἀπὸ πάντων τὸν πάντα χρό|νον, ποιέουσα ὅ κα θέλῃ καὶ ἀποτρέ|χουσα οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ | τὸν νόμον τᾶς πόλιος· Πατρέας | Ἀνδρονίκου. εἰ δέ τις ἅπτοιτο Καλ|λοῦς ἐπὶ καταδουλισσμῶι, βέβαιον πα|ρεχόντων τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀποδο|μένα Ψειθύρα καὶ ὁ βεβαιωτὴρ Πατρέας. εἰ δὲ | μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, πρά|κτιμοι ἐόντων τῶι θέλοντι κατὰ τὸν νόμον | τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνον|τες κύριοι ἐόντων συλέοντες Καλλὼ ὡς ἐλευ||θέραν ἐοῦσαν ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· ὁ ἱε|ρεὺς τοῦ Ἀπόλλωνος Ἄρχων καὶ οἱ ἄρχοντες | Ἀντιγένης, Ἁγίων, ⟨Π⟩Ὑβρίας καὶ ἰδιῶται Νικά|τας, Βάττος, Ἀριστέας, Φίλων Ἰατάδα, Φίλων || Φιλάγρου, Τιμόκριτος.

Z. 28 *C.-B.* lassen *Πυῤῥίας*. Da Z. 4/5 die richtige Namensform (vgl. 2137; 2172) steht, hatte die Vorlage sie gewiss auch in Z. 28. Möglich, dass die Vorlage ΓΡΥΒΡΙΑΣ hatte, vor dem Namen also die Abkürzung ΓΡ, d. i. *γρ(αμματεύς)* und dass dies das Versehen des Steinmetzen veranlasste.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

2219 *Pomtow* (73): *C.-B.* 88.

Ἄρχοντος Διονυσίου μηνὸς Ποιτροπί|ου, βουλευόντων Πάτρωνος, Ἁγίωνος, | Φιλιστίωνος, Πάτρωνος, Ἀλέξανδρος | Ἀλεξάνδρου, παρόντος αὐτῶι τοῦ κυ‖ρίου Καλλιδάμου τοῦ Σωσιξένου, κα|τὰ⟨τα⟩ δὲ υἱοθεσίαν Καλλιδάμου, συ|νευαρεστούντων τῶν υἱῶν αὐτοῦ Ὀλ|υμπίχου καὶ Σωσιξένου τοῦ Καλλιδάμου, | καὶ Ἀριστὼ Σωσικράτεος καὶ Ἀθηναΐς ‖ Ἀθηνίωνος, παρόντος αὐτᾶι Σωστρά|του τοῦ Ξένωνος, ἀπέδοντο τῶι Ἀπόλ|λωνι τῶι Πυθίωι κοράσιον γένει Χαιρω|νείας ὧι ὄνομα Ὀνησίφορον, τιμᾶς στατή|ρων δέκα, καὶ τὰν τιμὰν ἀπέχοντι. πα‖ραμεινάτω δὲ Ὀνησίφορον παρά τε Ἀ|λεξάνδρωι καὶ Ἀθηναΐδι καὶ Ἀριστοῖ | πάντα τὸν τᾶς ζωᾶς χρόνον. ἐξέστω | δὲ Ὀνασιφόρῳ, εἰ θέλοι χωρίζεσθαι | ἀπὸ τᾶς παραμονᾶς, δόμεν Ἀλεξάν|δρωι μὲν μνᾶν καὶ ἥμισον καὶ Ἀριστοῖ καὶ Ἀθηναΐδι ἄλλαν μνᾶν καὶ ἥμισον. | μάρτυροι· Λαιάδας, Ἐμμενίδας· Δάμων, | Ἧρυς.

Z. 20 ist bei *C.-B.* doppelt so lang als die Z. 15—19 und 21. Vermutlich ist im Druck (nach *Ἀριστοῖ*) ein Zeilendivisor ausgefallen, und die Inschrift hat vielmehr 23 st. 22 Zeilen. — Ist Z. 12/13 wirklich *γένει Χαιρω|νείας ὧι* eingeschlagen? Erwartet wird *γένος ἐκ* (*ἐχ*) *Χαιρω|νείας ἅι*. — Der Sclavenname begegnet in delphischer und ggr. Form. Dialekt überhaupt nicht rein, Z. 7; 9/10. — Z. 20 *μὲν — καί*. So auch 2180, 5/6. — Der Bürge fehlt. — Vgl. 2220, wo ein Nachtrag dazu steht.

Zeit. Priesterschaft XV (c. 50 vor Chr.).

2220 *Pomtow* (74): *C.-B.* 89.

Ἐπὶ δὲ ἄρχοντος Μέντορος | τοῦ Λαιάδα μηνὸς Ἰλαίου, ἀπέλυ|σε Ἀθηναΐς τᾶς παραμονᾶς | Ὀνασίφορον ὥστε ἐλευ|θέραν εἶμεν καὶ μηθενὶ μηθὲν π|οθήκει(ν) μηδὲ καθ' ὁποῖον τρόπον. | μάρτυροι· οἵ τε ἱερεῖς τοῦ Ἀπόλ|λωνος τοῦ Πυθίου Καλλίστρατος, | Ἁβρόμαχος καὶ ἰδιῶται Διόδω‖ρος Φιλονίκου, Θεόξενος.

Diese Nr. ist ein Nachtrag zu 2219; daher *δὲ* im Anfange. Vgl. 2157. — Z. 5/6 *C.-B.* *π|οθήκει* (vgl. z. B. 2156, 7).

Zeit. Priesterschaft XIX (in der Zeit von 50—1).

2221 *Pomtow* (75): *C.-B.* 29.

Ἄρχοντος Δαμοστράτου μηνὸς Ἀπελλαίου, ἀπέ|δοτο Ἀντάνωρ Ἀντάνορος, συνευδοκε⟨ν⟩ούσας καὶ | τᾶς ματρὸς Νικαίας, τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα γυναικεῖον ἇι ὄνομα Ἀπολλωνία τὸ γένος ‖ οἰκογενῆ, τιμᾶς ἀργυρίου μνᾶν ὀκτώ,

ἐπ᾽ ἐλευ|θερίαι, καθὼς ἐπίστευσε Ἀπολλωνία τὰν ὠνὰν τῶι | θεῶι, ἐφ᾽ ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάν|των τὸν πάντα βίον. βεβαιωτὴρ κατὰ τὸν νό|μον· Διονύσιος Ἀσάνδρου. εἰ δέ τις ἐφάπτοι|το Ἀπολλωνίας ἐπὶ καταδουλισμῶι, κύ|ριος ἔστω συλέων καὶ ἀφαιρείμενος | ὁ παρεντυγχάνων ἀζάμιος ἐὼν καὶ ἀν|υπόδικος πάσας δίκας καὶ ζαμίας, καὶ ὁ βεβαιωτὴρ βεβαιούτω τὰν ὠνὰν ‖ τῶι θεῶι. μάρτυροι· τῶν ἀρχόντων Σώστρα|τος Σωτύλου, Ἡρακλείδας Καλλία καὶ ἰδιῶ|ται Ἁγίων Πολυκλείτου, Τιμοκλῆς Πολύωνος, | Ἀγησίλαος Ταραντίνου, Νικάνωρ Στράτωνος, | Σωσιμένης Δαμοφάνεος, Κλέων Κλεοδάμου.

C.-B. Z. 2 συνευδοκευούσας. — Zu ἀφαιρείμενος Z. 11 vgl. 2061, 9; 2115, 8.

Zeit. Priesterschaft VI (etwa 150—140).

2222 *Pomtow* (76): ders. Jhrb. 35, 518. *C.-B.* 41.

Ἄρχοντος Δαμοσθένεος μηνὸς Ποιτροπίου, ἀπέδο|το Καλλὼ Ἀρίστωνος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα | ἀνδρεῖον ὧι ὄνομα Λύκος, τιμᾶς ἀργυρίου μνᾶς, καὶ | τὰν τιμὰν ἔχει πᾶσαν, συνευδοκεόντων καὶ τῶν ‖ ⟨καὶ τῶν⟩ υἱῶν Ἀρίστωνος, Ἀριστωνύμου καὶ | τοῦ ἀνδρὸς Ἀριστομάχου. βεβαιωτὴρ κατὰ τοὺς | νόμους τᾶς πόλιος· Ἁγίων Τεισίππου, καθὼς ἐπί|στευσε Λύκος τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὅτωι ἀνέφα|πτος εἶμεν ἀπὸ πάντων τὸμ πάντα βίον, ποιέοντα ὅ κα ‖ θέλη. μάρτυρες· Εὐκλῆς, Τείσιππος καὶ οἱ ἄρχοντες Ἀνα|ξανδρίδας, Φιλαίτωλος, Τιμοκλῆς καὶ οἱ ἱερεῖς τοῦ | Ἀπόλλωνος τοῦ Πυθίου Ἄρχων, Ἀνδρόνικος.

Z. 10 *P.* θέλη, *C.-B.* θέλῃι. Deshalb, weil diese Nummer die einzige Urkunde ist, die beide Priester der VII. Priesterschaft nennt, giebt sie Pomtow in den Jhrb. Seine Abschrift notiert alle Lücken, alle Varietäten der Zeichen, ist überhaupt ein Muster von Genauigkeit, so dass ich Z. 10 lieber seiner Angabe folge. — Zum Construktionswechsel in ποιέοντα (Z. 9) vgl. 1911, 7; 2153, 7.

Im Minuskeltexte alle Einzelheiten der Überlieferung anzubringen ist unmöglich, und für die Zwecke dieser Sammlung wäre es auch unnötig, drum verweise ich nur auf Pomtow a. a. O. und Jhrb. 40, 841.

Zeit. Priesterschaft VII (in der Zeit von 140—100).

2223 *Pomtow* (77): *C.-B.* 45.

Ἄρχοντος ἐν Δελφοῖς Δάμωνος τοῦ Ξενοστρά|του μηνὸς Βουκατίου, βουλευόντων τὰν πρώταν | ἑξάμηνον Βαβύλου τοῦ

Αἰακίδα, Κλέωνος τοῦ Δαμοσθένεος, γραμματεύοντος δὲ Δίωνος τοῦ Ἐπι|σθένεος, ἐν δὲ Ἀμφίσαι ἄρχοντος Ἀριστοδάμου μη|νὸς Ἀγρεστυῶνος, ἀπέδοτο Ἀριστοκλέας Λυσιπόνου Ἀμ|φισεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Ἴακχος τὸ γένος Θηβαῖον ἐνδογενῆ, ἀργυρίου μνᾶν ἕξ, καὶ τὰν τι|μὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Ἴακχος τῶι θεῶι τὰν ὠ|νάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων | τὸν πάντα χρόνον, ποιέων ὅ κα θέληι καὶ ἀποτρέχων | οἷς κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος καὶ | κατὰ τὸ σύμβολον· Σωκράτης Εὐτύχου Ἀμφισεύς. εἰ | δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι Ἰάκχου, βέβαιον | παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἀριστο|κλέας καὶ ὁ βεβαιωτὴρ Σωκράτης. εἰ δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν | νόμον τᾶς πόλιος καὶ κατὰ τὸ σύμβολον. ὁμοίως δὲ | καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες Ἴακ|χον ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδι|κοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλ|λωνος Ἄρχων, Δρομοκλείδας καὶ οἱ ἄρχοντες Βαβύλος | Αἰακίδα, Κλέων Δαμοσθένεος, Δίων Ἐπισθένεος καὶ ἰ|διῶται Δαίδαλος, Γοργίλος, Ἑλλάνικος Δελφοί, Δάμων, || Καλλικράτης Ἀμφισεῖς.

Das Präscript ist dasselbe wie 2093. — Hier σ st. σσ consequent (Z. 5, 6, 13, 25) im Namen Ἄμφισα und Ἀμφισεύς. — Die Namensform Ἀριστοκλέας auch 2156, 23 und 2115, 2. — Das Präscript wie 2093.

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2224 *Pomtow* (78): *C.-B.* 52.

Ἄρχοντος Κλευδάμου μηνὸς Ἀμαλίου, βουλευόντων τὰν δευ|τέραν ἑξάμηνον Μνασιθέου τοῦ Διοδώρου, Ἁγίωνος τοῦ Πολυκλείτου, γραμματεύοντος Κλευδάμου τοῦ Μαντία, | ἐπὶ τοῖσδε ἀπέδοτο Ξενὼ Θεοδώρου, συνευδοκεόντων καὶ || τῶν υἱῶν τᾶς θυγατέρος αὐτᾶς καὶ τᾶς θυγατέρος, τῶι Ἀπόλ|λωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἐρατὼ τὸ γένος οἰ|κογενῆ, τιμᾶς ἀργυρίου μνᾶν τριῶν καὶ ἡμιμναίου, καὶ τὰν τι|μὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Ἐρατὼ τῶι θεῶι τὰν ὠνάν, | ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάν||τα χρόνον, ποιέουσα ὅ κα θέληι καὶ ἀποτρέχουσα οἷς κα θέληι. | βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Καλλ(ε)ίδας Εὐκλείδα. | εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι Ἐρατοῦς, βέβαιον παρεχέτω τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀπο-

δομένα | Ξενὼ καὶ ὁ βεβαιωτὴρ βεβαιούτω. εἰ δὲ μὴ παρέχοιν ‖ βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόν|των κατὰ τὸν νόμον τᾶς πόλιος. | ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | κύριοι ἐόντων συλέοντες Ἐρατὼ ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Δρο|μοκλείδας, Ἄρχων καὶ οἱ ἄρχοντες | Κλεύδαμος Μαντία, Ἁγίων Πολυκλείτου | καὶ ἰδιῶται Ἁγίων Ἐχεφύλου, Πισίστρα‖τος Βούλωνος, Εὐκλείδας Καλλείδα, | Τιμόκριτος, Μένης, Ζωπυρίων.

Z. 11 *C.-B. Καλλίας*, Pomtow Rh. Mus. 49, 601 und 602 Anm. *Καλλ(ε)ίδας*.

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2225 *Pomtow* (79): *C.-B.* 58.

Ἄρχοντος Ξενοκρίτου τοῦ Ταραντίνου μηνὸς Βυσίου, βουλευόντων | τὰν δευτέραν ἑξάμηνον Καλλικρά|τεος τοῦ Διοδώρου, Κλέωνος τοῦ ‖ Κλευδάμου, γραμματεύοντος δὲ | Μεγάρτα τοῦ Μελισσίωνος, ἐπὶ | τοῖσδε ἀπέδοτο Πειθόλαος Ξένω|νος καὶ Ἡραΐς, συνευδοκεούσας καὶ τᾶς θυγατέρος αὐτῶν ‖ Τιμ[οῦ]ς, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον κορίδιον ἇι ὄνομα Ζωΐς τὸ γένος οἰκογενῆ, τιμᾶς ἀργυρίου | μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχον|τι πᾶσαν, καθὼς ἐπίστευσε Ζωΐς τῶι ‖ θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλευθέρα | εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων | τὸν πάντα βίον, ποιέουσα ὅ κα θέλῃ καὶ ἀποτρέχουσα οἷς κα θέλῃ. | βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Ὀξύλος Πολυξένου. | εἰ δέ τις ἅπτοιτο Ζωΐδος ἐπὶ καταδου‖λισμῶι, βέβαιον παρεχόντων | τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδό|μενος Πειθόλαος καὶ Ἡραΐς καὶ ὁ βεβαιωτὴρ Ὀξύλος. εἰ δὲ μὴ πα|ρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν | νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐ‖όντων συλέοντες Ζωΐδα ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐόντες | καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. παραμεινάτω δὲ Ζωΐς πα|ρὰ Πειθόλαον καὶ Ἡραΐδα ἄχρι οὗ κα ζώωντι ποιέουσα τὸ ποτι|τασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως. εἰ δὲ μὴ ποιέοι ἢ | μὴ παραμένοι Ζωΐς, ἐξουσίαν ἐχόντων ἐπιτιμέοντες Πει‖θόλαος καὶ Ἡραΐς τρόπωι ὧι κα αὐτοὶ θέλωντι, πλὰν μὴ π[ωλέοντες]. εἰ δὲ γένοιντο γενεαὶ Ζωΐδος, ζώοντος Πιθολάου καὶ Ἡραΐδος, ἐλεύθεραι ἐόντων αἱ γενεαὶ καὶ ἀνέφαπτοι ἀπὸ πάντων τὸν πάντα χρόνον καθὼς ἐπάνω γέγραπται. μάρτυροι· ὁ ἱερεὺς

τοῦ Ἀπόλλωνος Ἄρχων | καὶ ὁ νεωκόρος Μένης καὶ οἱ ἄρχοντες Καλλικράτης, Κλέων, Μεγάρτας ‖ καὶ ἰδιῶται Τιμόκριτος, Καλλίστρατος Ἀθανίωνος, Εὐκράτης Ξένωνος, | Ἀναξανδρίδας, Βαβύλος Ἀνδρομένεος, Πάτρων Ἰατάδα, Κλε[(όδα)]μος | Κλέωνος.

Beispiele zum Verbote des Verkaufs der Freigelassenen (Z. 30) s. 2186, 22. — Die Bestimmung betreffs der Kinder (Z. 31 ff.) gerade so wie 1798, 16 ff. — Z. 36/37 Steinmetzfehler *Κλεώνυμος* statt *Κλεόδαμος*, Pomtow Philol. 54, 358. — Zum Namen *Ἡραΐς* s. 2154 Anm.

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2226 *Pomtow* (80): *C.-B.* 57.

Ἄρχοντος Ξενοκρίτου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀμμίλα Εὐτύχου τῶι Ἀπό|λλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον κορίδιον ἇι ὄνομα Ἀφροδισία τὸ γένος Βοιωτὰν ἐγ Λε[(β)]αδήας, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Ἀφροδισία τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάν‖των τὸν πάντα βίον. | βεβαιωτὴρ κατὰ τὸν νόμον· | Ἵππων Βακχίου, Πολέμαρχος Χαριξένου. εἰ δέ τις αὐτᾶς ἐφάπτοιτο ἐπὶ καταδου|λισμῶι, κύριος ἔστω συλέων ὁ παρατυχὼν ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμι|ος ἐὼν καὶ ἀνυπόδικος ὁ συλέων πάσας δίκας καὶ ζαμίας. μάρτυροι · ‖ ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄρχων καὶ οἱ ἄρχοντες Κλέων Κλευδάμου, | Καλλικράτης, Μεγάρτας καὶ ἰδιῶται Τιμόκριτος, Χαρίξενος, Ἀγάθων.

Wegen *ἐγ* Z. 3 vgl. 1801, 5; 1878, 17; 2118, 3; 2123, 5. — *C.-B.* belassen *Λεπαδήας*. Böotisch heisst die Namensform *Λεβάδεια* (s. 481, 18). Wegen der Schreibung mit *η* vgl. *Μενεκράτηα* 1827, 1; *Ἱερόκληα* 1919, 5 u. a. — Z. 6 *βεβαιωτήρ* st. *°τῆρες* wie 1991, 7.

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2227 *Pomtow* (81): *C.-B.* 11.

Ἄρχοντος Πεισ[ίλα] μηνὸς Ποιτ[ροπίου, ἐπὶ | τοῖσ]δε ἀπέδοτο Φιλοκράτης Θ[εοφράστου] | Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθ[ίωι σῶμα] | γυναικεῖον ἇι ὄνομα Νουία, τιμᾶς ἀργ[υρίου] ‖ μνᾶν τριῶν, καθὼς ἐπίστευσε Νουί[α τῶι θε]ῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέραν εἶμ[εν καὶ] | ἀνέφαπτον ἀπὸ πάντων τὸμ πάντα βί[ον. βεβαι]|ωτῆρες κατὰ τὸν νόμον· Θεόφραστος, ... | Φιλοκράτεος Δελφοί. παραμεινάτω δ[ὲ Νουία] | παρὰ Φιλοκράτη ἄχρι κα ζώηι Φιλοκράτης | ποέουσα τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν | ἀνεγκλήτως. εἰ δέ τί κα

μὴ ποιῆι Νουία τῶν πο|τιτασσομένων ὑπὸ Φιλοκράτεος καθὼς γέ|γραπται δυνατὰ οὖσα, ἐξέστω Φιλοκράτει κολά||ζειν, καθώς κα αὐτὸς δείληται, καὶ ἄλλωι ὑπὲρ | Φιλοκράτη ἀζάμίοις ὄντοις καὶ ἀνυποδίκοις | πάσας δίκας καὶ ζαμίας. εἰ δέ τί κα πάθηι Φι|λοκράτης, ἐλευθέρα ἔστω Νουία, κυριεύουσα αὐ|τοσαυτᾶς καὶ ποέουσα ὅ κα θέληι, καθὼς ἐπί||στευσε Νουία τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτη|ται Νουίας τελευτάσαντος Φιλοκράτεος, βέβαιον | παρεχόντω οἱ βεβαιωτῆρες τῶι θεῶι τὰν ὠνὰν | κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνον|τες κύριοι ἐόντω συλέοντες ὡς ἐλευθέραν οὖσαν || ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας | δίκας καὶ ζαμίας. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀ|πόλλωνος Ξένων, Ἄθαμβος καὶ τοὶ ἄρχοντες | Ξένων, Ἀριστοτέλης, ἰδιῶται Δαμοχάρης, | Ἀθανίων, Πράξων, Εὐκλείδας, Ἀρχιάδας, || Δίων, Ἀγάθων.

C.-B. lassen zweimal die Zeilendivisoren weg. Im Anfange sind die Zeilen kurz und am Ende beschädigt. Zeile 5 bilden bei *C.-B.* die Worte von *μνᾶν* bis *εἶμ[εν καὶ]*: das ist das Doppelte der Zeichenzahl, die sonst eine Zeile hat. Die Lücke *Νουί[α τῶι θε]* ist gewiss das Zeilenende. Ebenso bilden bei *C.-B.* die Worte *παρατυγχάνον|τες* bis *πάσας* eine Zeile: ich habe nach *οὖσαν* den Divisor angenommen und daraus die Zeilen 24/25 gemacht. — Hilft für Z. 8 *Ἐράσιππος* (2165, 25), oder war der Name getilgt? Der erste Bürge ist Buleut.

Die Sclavin ist Römerin (Novia), wie *Βιβία* 1985 u. a. — Die Bürgen sind die Söhne des Freilassers. — *C.-B.* Z. 15 *δείδηται* (?); Z. 16 *ἀξαμίοις*, vgl. Z. 25; Z. 18/19 „*αὐ|τὸς* (sic) *αὐτᾶς*“.

Zeit. Priesterschaft II: December/Januar 187/186.

2228 *Pomtow* (82): *C.-B.* 12.

Ἄρχοντος Πεισίλα μηνὸς Ἡρακλείου, ἐπὶ τοῖσδε ἀπέδοτο Θάρσιππος | Νίκωνος Ὀπούντιος, κατοικέων ἐν Δελφοῖς, τῶι Ἀπόλλωνι τῶι Πυθίωι [σῶμα] | ἀνδρεῖον ὧι ὄνομα Βρόμιος οἰκογενῆ, τιμᾶς ἀργυρίου μνᾶν ἑπτά, καθὼς | ἐπίστευσε Βρόμιος τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλεύθερον εἶμεν καὶ ἀνέ||φαπτον ἀπὸ πάντων τὸμ πάντα βίον, ποέοντα ὅ κα θέληι καὶ ἀποτρέχ[οντα] | οἷς κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον· Σέλευκος Ἐπινίκου Δελφός. | βέβαιον δὲ παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Θάρσιππος | καὶ ὁ βεβαιωτὴρ Σέλευκος. εἰ δέ κα μὴ παρέχ[(ω)]ντι, πράκτιμοι ἐόντων | κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων || συλέοντες ὡς ἐλεύθερον ὄντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας | δίκας καὶ ζαμίας. μάρτυρες· ὁ ἱερεὺς Ἄθαμβος, τῶν

δὲ ἀρχόντων Κλεόδαμος | Κλέωνος, ἰδιῶται Δαμοχάρης, Ἀγησίας, Θεύξενος, Ἀγάθων, Πολύκλειτος, | Καλλικράτης, Σώτας.

C.-B. Z. 8 παρέχοντι.

Z. 11/12 steht der volle Name des Archonten: diese Stelle beweist, dass meine Vermutung zu 2039, 4 richtig ist; dort ist er Bürge (ebenso 2247, 3).

Zeit. Priesterschaft II: Mai/Juni 186.

2229 *Pomtow* (83): *C.-B.* 8.

Ἄρχοντος Πεισίλα μηνὸς Ἐνδυσποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀγὼ Λαίνα Ἐριναία | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα γυναικεῖα δύο αἷς ὀνόματα Καλλώ, Σωσίπολις | καὶ ἀνδρεῖον ἓν ὧι ὄνομα Διονυσόδωρος ἐνδογενεῖς, τιμᾶς ἀργυρίου μνᾶν δεκαδύο. | βεβαιωτὴρ κατὰ τὸν νόμον· Νικόπολις Ἀριστομήδεος Ἐριναῖος. παραμενόντων δὲ ‖ Καλλώ, Σωσίπολις, Διονυσόδωρος παρὰ Ἀγώ, ἄχρι κα ζώηι Ἀγώ, ποέοντες τὸ ποτιτασ|σόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως. εἰ δέ τί κα μὴ ποιέωντι τῶν ποτιτασσο|μένων ὑπὸ Ἀγοῦς καθὼς γέγραπται δυνατοὶ ἐόντες, ἐξέστω Ἀγοῖ κολάζε(ι)ν κα|θὼς κα αὐτὰ θέληι καὶ ἄλλωι ὑπὲρ Ἀγὼ ἀζαμίοις ὄντοις καὶ ἀνυποδίκοις πάσας | δίκας. εἰ δέ τί κα πάθηι Ἀγώ, ἐλεύθεροι ἐόντων Καλλώ, Σωσίπολις, Διονυσόδωρος ‖ κυριεύοντες αὐτοσαυτῶν καὶ ποέοντες ὅ κα θέλωντι, καθὼς ἐπίστευσαν τῶι | θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται Καλλοῦς ἢ Σωσιπόλιος ἢ Διονυσοδώρου, ἐπεί | κα τελευτάσηι Ἀγώ, βέβαιον παρεχέτω ὁ βεβαιωτὴρ τῶι θεῶι τὰν ὠνὰν κατὰ τὸν | νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες ὡς ἐλευ|θέρους ὄντας ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας. μάρτυρες· τοὶ ἱερεῖς ‖ Ξένων, Ἄθαμβος, τῶν δὲ ἀρχόντων Κλεόδαμος, ἰδιῶται Εὐκλείδας, Πολύκλειτος, | Δείνων Δελφοί, Θεόλαος, Ἀριστίων Ἐριναῖοι.

C.-B. Z. 7 *κολάζεν*. — 8 *ἀξαμίοις*, vgl. Z. 14. — 9 und 14 fehlt *καὶ ζαμίας*. S. 2283.

Mit *Λαίνας* Z. 1 ist Laenas identisch: entstanden aus *Λα-αίνας* vgl. *Λαγόρας*, *Λάνασσα* und Namen wie *Ξεν-αίνα* (2239, 2), *Λεαίνα* (2021, 2). — 11 *Σωσιπόλιος* gen. fem., wie *Νικοπόλιος* 1833, 3. Vgl. 2151 Anm.

Zeit. Priesterschaft II: April/Mai 186.

2230 *Pomtow* (84): *C.-B.* 14.

Ἄρχοντος Εὐκράτευς μηνὸς Ποιτροπίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Νίκων Νικία Δελφὸς τῶι | Ἀπόλλωνι τῶι Πυθίωι

σῶμα γυναικεῖον | ἇι ὄνομα Ἐλάφιον τὸ γένος Σύραν, τιμᾶς ‖ ἀργυρίου τριῶν ἡμιμναίων, καθὼς | ἐπίστευσε Ἐλάφιον τῶι θεῶι τὰν ὠνάν, | ἐφ᾽ ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποέουσα | ὅ κα θέληι. βεβαιωτῆρες κατὰ τὸν νόμον· ‖ Ἁβρόμαχος Εὐαγόρα, Πολύκλειτος Πεισί‖[λα] Δελφοί. μάρτυρες· τοὶ ἱερεῖς | τοῦ Ἀπόλλωνος Ξένων, | Ἄθαμβος· Χαρίξενος | Ἀμυνέα, Ὀρθαῖος ‖ Χάρητος, Εὐκλείδας Καλλείδα.

Auf die Priester folgen 3 Privatzeugen. Es ist nicht unmöglich, dass der erste Bürge der Archont des 1. Semesters ist. Der zweite Bürge begegnet 2239, 12.

Zeit. Priesterschaft II: December/Januar 185/184.

2231 *Pomtow* (85): *C.-B.* 20.

Ἄρχοντος Πραξία μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Γλαῦκος Ξένωνος Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον | ὧι ὄνομα Εὐάμερος, ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Εὐάμερος τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλεύθερος εἶμεν καὶ | ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα βίον, ποέων ὅ κα θέληι καὶ ἀποτρέχων οἷς κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον· Χαρίξενος Ἀμυνέα. | εἰ δέ τίς κα ἅπτηται Εὐαμέρου, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Γλαῦκος καὶ ὁ βεβαιωτὴρ Χαρίξενος. εἰ δέ κα μὴ ‖ παρέχωντι, πράκτιμοι ἐόντω κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντω συλέοντες ὡς ἐλεύθερον ὄντα | ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· τοὶ ἱερεῖς Ἄθαμβος, Ἀμύντας· Κλεύδαμος Μαντία, Ξένων | Γλαύκου, Εὐκλείδας Καλλείδα, Ξενόστ[ρατ]ος Ἐχύλλου.

Auf die Priester folgen Z. 6 Privatzeugen; ein Archont ist nicht darunter.

Zeit. Priesterschaft III: Juni/Juli 177.

2232 *Pomtow* (86): *C.-B.* 15.

Ἄρχοντος Κράτωνος μηνὸς Ἀπελλαίου, ἐπὶ τοῖσδε | ἀπέδοντο Πεισίλας, Κράτων Νικοδάμου Δελφοὶ | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα | Ἡρωΐδας τὸ γένος Τενέδιον, τιμᾶς ἀργυρίου μνᾶν ‖ τεσσάρων, καθὼς ἐπίστευσε Ἡρωΐδας τῶι θεῶι τὰν ὠνάν, | ἐφ᾽ ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων | τὸν πάντα βίον, ποέων ὅ κα θέληι. βεβαιωτὴρ κατὰ τὸν | νόμον· Δαμένης Ὀρέστα Δελφός. μάρ-

τυρες· τοὶ ἱερεῖς | τοῦ Ἀπόλλωνος Ξένων, Ἄθαμβος καὶ τῶν ἀρχόντων Διόδωρος, Πολυκράτης, ἰδιῶται Καλλίας, ‖ Δαμοχάρης, Χαρίξενος.

Die beiden Freilasser s. in No. 2238. — Die Namensform Ἡρωΐδας auch 1755, 18; 2116, 12 (Ἡροΐδα 1747, 19 also zu ändern).

Zeit. Priesterschaft II: Juli/August 184.

2233 *Pomtow* (87): *C.-B.* 4.

Ἄρχοντος Κλεοδάμου τοῦ Πολυκλείτου μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀριστο|κράτεια Δελφὶς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ὧι ὄνομα Ῥόδιον, τιμᾶς ἀργυρίου | μνᾶν τριῶν, καθὼς ἐπίστευσε Ῥόδιον τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφα|πτος ἀπὸ πάντων τὸν πάντα βίον. βεβαιωτὴρ κατὰ τὸν νόμον· Δαμένης Ὀρέστα Δελφός. παρα|μεινάτω δὲ Ῥόδιον παρὰ Ἀριστοκράτειαν ἄχρι κα ζώηι Ἀριστοκράτεια, ποέουσα τὸ ποτι|τασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως. εἰ δέ τί κα μὴ ποιῆι Ῥόδιον τῶν ποτιτασσομένων | ὑπὸ Ἀριστοκρατείας καθὼς γέγραπται δυνατὰ οὖσα, ἐξέστω Ἀριστοκρατείαι κολάζειν, καθώς | κα αὐτὰ θέληι, καὶ ἄλ(λ)ωι ὑπὲρ Ἀριστοκράτειαν ἀζαμίοις ὄντοις καὶ ἀνυποδίκοις πάσας δίκας. | εἰ δέ τί κα πάθηι Ἀριστοκράτεια, ἐλευθέρα ἔστω Ῥόδιον κυριεύουσα αὐτοσαυτᾶς ‖ καὶ ποιέουσα ὅ κα θέληι, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται Ῥοδίου τελευτασάσας Ἀριστοκρατείας, βέβαιον παρεχέτω ὁ βεβαιωτὴρ τῶι θεῶι | τὰν ὠνὰν κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντω | συλέοντες ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας. μάρτυρες· ὁ ἱερεὺς Ξένων, τῶν ἀρχόντων Ἐτυμώνδας, ἰδιῶται Ξένων, Δαμοχάρης, Μενεκράτης.

C.-B. Z. 8 ἄλωι beibehalten. — 8 ἀξαμίοις, offenbar Druckfehler, s. Z. 12. — 9 „αὐτὸς (sic) αὐτᾶς". — 10 τελευτησάσας, gewiss Druckfehler. — Was als Z. 10 gegeben wird, sind wohl 2 Zeilen; *C.-B.* vergassen die Zeilenabteilung. — Z. 8 und 12 fehlt καὶ ζαμίας, s. 2229.

Zeit. Priesterschaft II: December/Januar 188/187.

2234 *Pomtow* (88): *C.-B.* 7.

Ἄρχοντος Πεισίλα μηνὸς Ἀμαλίου, ἐπὶ τοῖσδε ἀπέδοτο | Φαλακρίων Σωσικράτεος Δαμιεὺς τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Διονύσιος οἰκογενῆ, | τιμᾶς ἀργυρίου μνᾶν τριῶν καὶ ἡμιμναίου, καθὼς ἐπί‖στευσε Διονύσιος τῶι

θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθε|ρος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα βίον, | ποιέων ὅ κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον· Ξενοκράτης | Καλλιτέλεος Λιλαιεύς. μάρτυρες· τοὶ ἱερεῖς Ξένων, | Ἄθαμβος, τῶν δὲ ἀρχόντων Κλεόδαμος, ἰδιῶται || Χαρίξενος, Καλλίας, Εὔδαμος, Ἀγάθων, Σωδαμίδας.

Auffällig wäre, wenn der *Λαμιεύς* einen *Λιλαιεύς* als Bürgen hätte. Sollte nicht Z. 2 und 8 dasselbe Ethnikon stehen? Ist nicht Z. 8 das Ethnikon verlesen? Der Name *Φάλακρος* ist mit Ableitungen bereits aus Thessalien bekannt.

Zeit. Priesterschaft II: Januar/Februar 186.

2235 *Pomtow* (89): *C.-B.* 22.

Ἄρχοντος Μελισσίωνος μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδο|το Ταραντῖνος Ἄρχωνος Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα | ἀνδρεῖον ὧι ὄνομα Ζωΐλος, τιμᾶς ἀργυρίου στατήρων τεσσα|ράκοντα, καθὼς ἐπίστευσε Ζωΐλος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι||τε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάν|τα βίον, ποιέων ὅ κα θέλῃ καὶ ἀποτρέχων οἷς κα θέλῃ. | βεβαιωτὴρ κατὰ τὸν νόμον· Χαρίξενος | Ἀμυν[έα] Δελφός. μάρτυρες· τοὶ ἱερεῖς Ἄθαμ|βος, Ἀμύν[τας]· Κλεύδαμος Κλέωνος, || Δαμοχάρης Καλλείδα, Γλαῦκος Ξένωνος, | Εὐκλείδας Καλλείδα, Δάμων Δεξώνδα.

Der Freilasser ist in Priesterschaft IV Priester. — Unter den Zeugen ist kein Archont.

Zeit. Priesterschaft III: December/Januar 177/176.

2236 *Pomtow* (90): *C.-B.* 21.

Ἄρχοντος Μελισσίωνος μηνὸς | Ἡραίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀρι|στίων Ἐχεκρατίδα Δελφὸς τῶι | Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυ||ναικεῖον ἆι ὄνομα Σωσίχα ἐν|δογενῆ, τιμᾶς ἀργυρίου μνᾶν | τ[ριῶ]ν, καὶ τὰν τιμὰν ἔχει· βε|βαιωτὴρ κατὰ τὸν (ν)όμον· Δά|μων Τ[ελ]εσάρχου· ὥστε || ἐλευθέρα[ν] εἶμεν Σωσί|χαν, κα[θὼς ἐπί]στευσε | [τῶι] θεῶι [τὰν ὠ]νάν. μάρτυ|[ρες· τοὶ] ἱερε[ῖς τοῦ] Ἀ[πόλλω]νος καὶ | [τ]ῶν ἀρχόντων Ἀνδρομένης, Δεξικρά|τ[ης] καὶ ἰδιῶται Ἀνδρό|νικος, Χαρίξενος, Ξενέας, | Ἀμφίστρατ[ος], Ἄρχων, Νίκων | καὶ ὁ νεωκόρος Καλλίκων. || τὸ πινάκιον παρὰ Καλλίκωνα.

C.-B. Z. 8 *κατὰ τὸ νόμον.*

Zeit. Priesterschaft III: October/November 177.

2237 *Pomtow* (91): *C.-B.* 5.

Ἄρχοντος Κλευδάμου τοῦ Πολυκλείτου μηνὸς Ἡρακλείου, ἐπὶ τοῖσδε ἀπέδοτο | Καλλὶς Πεισίλα Ἀμβρυσσία τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα [Δορ]‖κίνας καὶ ἄλλο γυναικεῖον ὧι ὄνομα Λαΐς, οἰκογενεῖς, τιμᾶς ἀργυρίου μνᾶν ἕξ, κα[θὼς] | ἐπίστευσαν Δορκίνας καὶ Λαΐς τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρους εἶμεν [καὶ] ‖ ἀνεφάπτους ἀπὸ πάντων τὸμ πάντα βίον καὶ ποέοντας ὅ κα θέλωντι. βεβαιωτῆρ[ες] | κατὰ τὸν νόμον· Ξενοκράτης Ἀριστοδάμου Μεδεώνιος, Ἀλκίμαχος Δεινέα Ἀμβ[ρύσ]‖σιος, Χαρίξενος Ἀμυνέα Δελφός. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ξένων, Ἄθα[μβος] | καὶ τοὶ ἄρχοντες Ὀρθαῖος, Ξενοκράτης, ἰδιῶται Ἀμύντας, Δαμοχάρης, Διονύσιος Δελφ[οί].

Der 1. Bürge auch in 2241, 7.

Zeit. Priesterschaft II: Mai/Juni 187.

2238 *Pomtow* (92): *C.-B.* 9.

Ἄρχοντος Πεισίλα μηνὸς Ἀπελλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Πεισίλας Νικοδάμου Δελφὸς | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἰάς, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, | καθὼς ἐπίστευσε Ἰὰς τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ | πάντων τὸμ πάντα βίον, ποέουσα ὅ κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον· Κράτων | Νικοδάμου Δελφός. μάρτυρες· ὁ ἱερεὺς Ἄθαμβος καὶ τοὶ ἄρχοντες Θεόφραστος, | Ξένων, ἰδιῶται Δίων Κλέωνος, Πράοχος, Ἀριστόμαχος, Δαμοχάρης Καλλείδα, | Ἐπικράτης.

Freilasser und Bürge sind Brüder, s. 2232, 2.

Zeit. Priesterschaft II: Juli/August 187.

2239 *Pomtow* (93): *C.-B.* 10.

Ἄρχοντος Πεισίλα μηνὸς Βοαθόου, ἐπὶ [τοῖσδε] | ἀπέδοτο Ξεναίνα Φιλωνίδα Δελφὶς τῶ[ι Ἀπόλλω]‖νι τῶι Πυθίωι σώματα ἀνδρεῖα δύο οἷς ὀνόματα Σωτίων, Λύκων, τιμᾶς ἀργυρίου μνᾶν ὀκτώ, ‖ καθὼς ἐπίστευσαν Σωτίων καὶ Λύκων τῶι [θε]‖ῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρους εἶμεν [καὶ] | ἀνεφάπτους ἀπὸ πάντων τὸμ πάντα βί[ον] | ποέοντας ὅ κα θέλωντι. βεβαιωτῆρες κατὰ [τὸν] | νόμον· Βούλων Πεισιστράτου, Ἀθανίων Ἡρία ‖ Δελφοί. μάρτυρες· τοὶ ἱερεῖς [Ξέ]νων, Ἄθαμβος καὶ τοὶ ἄρχοντες Θεόφραστος, [Ξέ]‖νων, Ἀριστοτέ-

λης, ἰδιῶται Πολύκλειτος Πεισίλ[α], | Δαμοχάρης Καλλείδα, Κλέων Καλλιγένεος, Χ[αρί]‖ξενος Ἀμυνέα, Ἀγάθων Ἀθάμβου, Εὐκλείδας ‖ Καλλείδα.

Die Zeilen sind kurz und am Ende meist beschädigt. Zeile 5 bilden bei *C.-B.* die Worte von *καθὼς* bis *εἶμεν* [*καὶ*]: das ist das Doppelte der Zeichenzahl, die sonst eine Zeile hat. Darin ist [*θε*]*ῶι* lückenhaft überliefert, also wird [*θε*] und *ῶι* die Zeilenwende 5 zu 6 bilden. — Z. 12 Ende. Für *Πεισίλ*[*α*] ist *Πεισιλ*[*άου*] möglich; beide Formen wechseln, s. 2039, 1 Anm. An den Zeilenenden fehlen immer 2 bis 3 Zeichen, nicht bloss eins. Der Mann ist 2230, 10 Bürge.

Zeit. Priesterschaft II: September/October 187.

2240 *Pomtow* (94): *C.-B.* 2.

Ἄρχοντος ἐν Δελφοῖς Ἐχεφύλου μηνὸς Ἡραίου, ἐπὶ τοῖσδε ἀπέδοτο | Θρασυκλῆς Εὐδόκου Δελφὸς Πυῤῥίαν τῶι Ἀπόλλωνι τῶι Πυθίωι ἀργυρίου | μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Πυῤῥίας τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι | αὐτὸν ἐλεύθερον εἶμεν, ποιέοντα ὅ κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον· ‖ Ἀναξανδρίδας. μάρτυρες· Πιστέας, Νικόμαχος, Πεισίστρατος, | Ἀριστίων, Ἄνδρων.

Von den Zeugen ist keiner Priester oder Buleut.

Zeit. Priesterschaft II: October/November 193.

2241 *Pomtow* (95): *C.-B.* 3.

Ἄρχοντος Κλεοδάμου τοῦ Πολυκλείτου μηνὸς Θεοξενίου, ἐπὶ | τοῖσδε ἀπέδοτο Ἀρίσταρχος Θεοξένου Ἑλικώνιος τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Σωσικράτης οἰκογενῆ, τιμᾶς | ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Σωσικράτης τῶι θεῶι ‖ τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων | τὸμ πάντα βίον, ποέων ὅ κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον· | Ξενοκράτης Ἀριστοδάμου Μεδεώνιος. μάρτυρες· τοὶ ἱερεῖς | Ξένων, Ἄθαμβος καὶ τοὶ προστάται Πολύκλειτος, Ἁγίων, ἰδιῶται Ἀριστόμαχος, Διόδωρος, Δίων, Κρατίδας Δελφοί, Ἀμύμων, Κρατῖνος Μεδεώνιοι, Δεινέας, Ἀντιγένης | Ἀμβρύσσιοι.

Zu *προστάται* Z. 8 vgl. 2117, 6.

Zeit. Priesterschaft II: März/April 187.

2242 *Pomtow* (96): *C.-B.* 13.

Ἄρχοντος Νικοβούλου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο

Ξένων Βούλωνος τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Λάρισα, τιμᾶς ἀργυρίου μνᾶν δύο, καθὼς ἐπίστευσε τῶι θεῶι | τὰν ὠνὰν Λάρισα, ἐφ' ὧι αὐτὰν ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα βίον, | ποιέουσαν ὅ κα θέληι. βεβαιωτήρ· Ἁγίων Καλλικράτεος. μάρτυρες· ὁ ἱερεὺς Ἄθαμβος ‖ καὶ τοὶ ἄρχοντες Δάμων, Ξενοχάρ[ης], Εὐκράτης.

Der Freilasser ist der eine der beiden Priester (so auch 2163); drum fehlt sein Name unter den Zeugen.

Zeit. Priesterschaft II: Juni/Juli 185.

2243 *Pomtow* (97): *C.-B.* 1.

Ἄρχοντος ἐν Δελφοῖς Πειθαγόρα μηνὸς Δαιδαφορίου, ἐπὶ τοῖσδε ἀπέδοτο | Ζηνέας Ἁγνία Δελφὸς Λύκαν τῶι Ἀπόλλωνι τῶι Πυθίωι ἀργυρίου μνᾶν δύο, | καθὼς ἐπίστευσε Λύκα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν ἐλευθέραν | εἶμεν, ποέουσαν ὅ κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον· Στράτων Βούλωνος ‖ Δελφός. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ξένων, Ἄθαμβος· Ἁγίων, | Μνάσων, Εὐκλείδας Δελφοί.

Von den Zeugen ist keiner Buleut.

Zeit. Priesterschaft II: November/December 194.

2244 *Pomtow* (98): *C.-B.* 17.

[Ἄρχο]ντος Μαντία μηνὸ[ς | Ἡρα]κλείου, ἐπὶ τοῖσδε ἀπέ|δοτο Σώπολις Ἀσάν|δρου Δελφὸς τῶι Ἀπόλ|λωνι τῶι Πυθίωι σῶμα γυ|ναικεῖον ἇι ὄνομα Ἐπιξένα, τι|μᾶς ἀργυρίου μνᾶν τριῶν, | καθὼς ἐπίστευσε Ἐπιξένα | τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι|τε ἐλευθέρα εἶμεν καὶ ἀνέ|φαπτος ἀπὸ πάντων τὸμ πάντα βίον, ποέουσα ὅ κα θέ|ληι καὶ ἀποτρέχουσα οἷς κα θέληι. βεβαιωτὴρ κατὰ τὸν ‖ νόμον· Χαρίξενος Ἀμυνέ|α Δελφός. | μάρτυρες· τοὶ ἱερεῖς | τοῦ Ἀπόλλωνος Ἄθαμ|βος, Ἀμύντας, τῶν δὲ ἀρχόν|των Σωδαμίδας, Ξενέας, | ἰδιῶται Δαμοχάρης καὶ Εὐ|κλείδας Καλλείδα.

Zeit. Priesterschaft III: Mai/Juni 179.

2245 *Pomtow* (99): *C.-B.* 6.

Ἄρχοντος Πεισίλα μηνὸς Ποιτροπίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Ἰσχέας Δωροθέου Οἰ|ανθεύς, συνεπαινεούσας Ἀγήσας τᾶς | Ζεύξιος θυγατρὸς Οἰανθίδος, τῶι Ἀπόλλω‖νι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Δορ|κίνας, τιμᾶς ἀργυρίου μνᾶν δύο

καὶ ἡμιμναί|ον, καθὼς ἐπίστευσε Δορκίνας τῶι θεῶι τὰν | ὠνάν, ἐφ' ὧιτε ἐλεύθερον εἶμεν καὶ ἀνέ|φαπτον ἀπὸ πάντων τὸμ πάντα βίον, ποέον||τα ὅ κα θέλῃ. βεβαιωτῆρες κατὰ τὸ|ν νόμον· Πειθαγόρας Ξένωνος, Κρά|των Νικοδάμου Δελφοί. μάρτυρες· τοὶ ἱε|ρεῖς τοῦ Ἀπόλλωνος Ξένων, Ἄθαμβος καὶ | τοὶ ἄρχοντες Θεόφραστος, Ξένων, Ἀριστοτέ||λης, ἰδιῶται Γλαῦκος, Βαβύλος, Ταραντῖνος, | Δαμοχάρης, Κλεοφάνης Δελφοί.

Gleichen Datums wie die im Formular übereinstimmende Nummer 2054; dort Z. 1 *Πισιλάου*, hier *Πεισίλα* wie 2039, 1; s. Anm. daselbst.

Zeit. Priesterschaft II: December/Januar 187/186.

2246 *Pomtow* (100): *C.-B.* 19.

Ἄρχοντος Πραξία μηνὸς Ἀμαλίου, ἐπὶ τοῖσδε ἀπέδοτο Διονύσιος Ἀσάνδρου Δελφὸς τῶι Ἀπόλλωνι τῶι | Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Ἀγάθων, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Ἀγάθων τῶι | θεῶι τὰν ὠνάν. βεβαιωτὴρ κατὰ τὸν νόμον· Σώπολις Ἀσάνδρου Δελφός. παραμεινάτω δὲ Ἀγάθων | παρὰ Διονύσιον, ἄχρι κα ζώῃ Διονύσιος, ποιέων τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατόν. εἰ δέ κα μὴ παραμ|μένῃ μηδὲ ποιῇ τὸ ποτιτασσόμενον δυνατὸς ἐών, ἐξέστω Διονυσίωι κολάζειν ὥς κα αὐτὸς θέλῃ. | ἐπεὶ δέ κα τελευτάσῃ Διονύσιος, ἐλεύθερος ἔστω Ἀγάθων κυριεύων αὐτοσαυτοῦ καὶ ποιέων | ὅ κα θέλῃ, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται Ἀγάθωνος ἐπὶ καταδουλισ|μῶι τελευτάσαντος Διονυσίου, βέβαιον παρεχέτω ὁ βεβαιωτὴρ τῶι θεῶι τὰν ὠνὰν κατὰ τὸν νό|μον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες ὡς ἐλεύθερον ὄντα ἀζάμιοι || ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς Ἄθαμβος, Ἀμύντας καὶ ἰδιῶται | Δαμοχάρης, Πάτρων, Καλλίκων, Ἀρισταίνετος, Ὀρθαῖος, Κάλλων.

Zeit. Priesterschaft III: Januar/Februar 177.

2247 *Pomtow* (101): *C.-B.* 16.

Ἄρχοντος Ἀνδρονίκου μηνὸς Ἡραίου, ἐπὶ τοῖσδε ἀπέδοτο Δαμὼ Κρατεροῦ Δελφὶς τῶι Ἀπόλ|λωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Σωσίας, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων. | βεβαιωτὴρ κατὰ τὸν νόμον· Κλεόδαμος Κλέωνος Δελφός.

παραμεινάτω δὲ | Σωσίας παρὰ Δαμώ, ἄχρι κα ζώηι Δαμώ, ποέων τὸ ποτιτασσόμενον πᾶν τὸ δυνα||τὸν εὐνόως. εἰ δέ τι κα πάθηι Δαμώ, ἐλεύθερος ἔστω Σωσίας κυριεύων αὐτοσαυτοῦ καὶ ἀποτρέχων οἷς κα θέληι, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς | κα ἅπτηται Σωσία ἐπὶ καταδουλισμῶι, ἐπεί κα τελευτάσηι Δαμώ, βέβαιον | παρεχέτω ὁ βεβαιωτὴρ τῶι θεῶι τὰν ὠνὰν κατὰ τὸν νόμον. ὁμοίως δὲ | καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες ὡς ἐλεύθερον ὄντα || ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· | τοῦ Ἀπόλλωνος τοὶ ἱερεῖς Ξένων, Ἄθαμβος, τῶν δὲ ἀρχόντων Μενέστρατος, ἰδιῶται Εὐκλείδας, Δαμοκράτης, Κλέων, Κράτων, | Ταραντῖνος.

Über den Bürgen s. zu 2228. — Die auffällige Stellung in Z. 11 *τοῦ Ἀπόλλωνος τοὶ ἱερεῖς* erklärt sich wohl so, dass der Steinmetz *τοὶ ἱερεῖς* nach *μάρτυρες* | vergass und dann nachtrug. Vgl. 2281, 4.

Zeit. Priesterschaft II: October/November 181.

2248 *Pomtow* (102): *C.-B.* 18.

Ἄρχοντος Πραξία μηνὸς Βυσί-ου, ἐπὶ τοῖσδε | ἀπέδοτο Νικόδαμος Πεισίλα τῶι Ἀπόλλωνι τῶι | Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Διονυσία, | τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπί||στευσε Διονυσία τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι|τε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀ πὸ πάντων τὸμ πάντα βίον, ποέουσα ὅ κα θέ|λῃ καὶ ἀποτρέχουσα οἷς κα θέλῃ. βεβαιωτῆ|ρες κατὰ τὸν νόμον· Κράτων Νικοδάμου, || Ἀγέας Ἀλεξάνδρου. εἰ δέ τίς κα | ἅπτηται Διονυσίας, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ τε | ἀποδόμενος Νικόδαμος καὶ οἱ βεβαιωτῆρες Κράτων, Ἀγέας. εἰ δὲ μὴ πα|ρέχωντι, πράκτιμοι ἐόντων κατὰ | τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχά|νοντες κύριοι ἐόντων συλέοντες ὡς | ἐλευθέραν οὖσαν ἀζάμιοι ἐόντες | καὶ ἀνυπόδικοι πάσας δίκας καὶ || ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς | Ἄθαμβος, Ἀμύντας, ἰδιῶται | Μένης, Μαντίας, Εὐκλείδας.

S. Pomtow, Jhrb. 40 Tafel II ein Stück des Faksimile, die Anfänge der Zeilen 1—9. Daraus ist zu entnehmen, dass der Stein Z. 1 *Βυσί-ου* hat (*C.-B. Βυσίου*), dass Z. 7 mit ΠΟΠΑΝΤΩΝ beginnt, also entweder *ἀ πὸ πάντων* zu trennen oder *ἀπὸ ⟨πο⟩ πάντων* zu schreiben ist (*C.-B. ἀπὸ | πάντων*). — Zum Construktionswechsel in *ποέουσα* Z. 7 vgl. 1854, 17; 1911, 7. — Der eine Bürge ist der Sohn des Freilassers.

Zeit. Priesterschaft III: Februar/März 177.

2249 *Anecd.* 37a (= *Rang.* 934 u. = *Lebas* 961): *C.-B.* 106.

Ἄρχοντος ἐν Δελφοῖς Δάμωνος τοῦ Πολεμά|ρχου μηνὸς Ἐνδυσποιτροπίου, βουλεύοντος Ξεναγό|ρα τοῦ Ἀβρομάχου, ἐν δὲ Ἀ(μ)φίσ[(α)]ι ἄρχοντος Σίμου τοῦ Ἀπ|ολλωνίου μηνὸς Ποιτροπίου, ἀπέδοτο Ἀριστὼ ‖ Πύῤῥου, συνευ[δο]κέοντος καὶ τοῦ υἱοῦ αὐτᾶς Ζωπύρου τοῦ Ἄρχωνος | Τιθορέος, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικῆον κοράσιον οἰκογενές, | ἇι ὄνομα Ἐρωτίς, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἀπέχει | πᾶσαν. βεβαιωτήρ· Δελφὸς μὲν Αἰακίδας Εὐκλείδα, Ἀμφισσεὺς δὲ | Ἄξιος Σωτηρίχου, ὥστε μηθενὶ ποθήκειν αὐτὰν κατὰ μηθένα τρόπον, ‖ ἀλλ' εἶμεν ἐλευθέραν καὶ ἀνέφαπτον πάντα χρόνον ἀπὸ παντός, καθὼς | ἐπίστευσε τῶι θεῶι τὰν ὠνὰν Ἐρωτίς. εἰ δέ τις ἐφάπτοιτο αὐτᾶς ἐπὶ κατα|δουλισμῶι, βέβαιον παρεχ[(όν)]τω(ν) τῶι θεῶι τὰν ὠνὰν ἐπ' ἐλευθερίαι οἵ τε ἀπο|δόμενοι καὶ οἱ βεβαιωτῆρες, καὶ ἄλλος ὁ παρατυχὼν ἐξουσίαν ἐχέτω συλέων | Ἐρωτὶν ἐλευθέραν ἀζάμιος ὢν καὶ ἀνυπόδικος ὁ συλέων πάσας δίκας καὶ ζαμίας. ‖ μάρτυρες· οἵ τε ἱερεῖς τοῦ Ἀπόλλωνος Διόδωρος Φιλονίκου, Πολέμαρχος Δάμωνος | καὶ ἰδιῶται Στράταγος Φίλωνος, Διονύσιος Ἀστοξένου, Εὐκλείδας Αἰακίδα, | Σωσίρεις Φιλίππου, Σάτυρος Ζωΐλου.

In den *Anecd.*, von *Rang.* und von *Lebas* nur bis *Ἐνδυσποιτροπίου* mitgeteilt. — Z. 3 *C.-B.* „*Ἀφίσει* (sic)“. Sonst stets: *ἐν δὲ Ἀμφίσσαι*. Was *C.-B.* geben, lässt auf *Ἀ(μ)φίσ[(α)]ι* oder auch auf *Ἀ(μ)φίσσ(α)ι* schliessen. — 6 *γυναικῆον*, wie 1973, 2; 2141, 23 u. o. — 12 *C.-B.* lassen *παρεχέτω*. — 17 Ist *Σωσίρεις* richtig gelesen? Oder steckt *Σῶ-στρ-ις* oder a. dahinter? — Singulär ist, dass die Inschrift nur e i n e n Buleuten nennt (Z. 2), während die übrigen Inschriften aus der Zeit 20 v. Chr. bis 80 n. Chr. stets z w e i haben.

Z e i t. Priesterschaft XXI (kurz nach Chr. Geburt).

2250 *Anecd.* 37b (= *Rang.* 935 u. = *Lebas* 948): *C.-B.* 47.

Ἄρχοντος Δάμωνος τοῦ Ξενοστράτου μηνὸς Θευ|ξενίου, βουλευόντων τὰν δευτέραν ἑξάμηνον | Εὐκλέος τοῦ Καλλιστράτου, Ἁγίωνος τοῦ Ἐχεφύ|λου, Ἀναξανδρίδα τοῦ Αἰακίδα, ἐπὶ τοῖσδε ‖ ἀπέδοτο Εὐκλῆς Καλλιστράτου τῶι Ἀπόλ|λωνι τῶι Πυθίωι σῶμα ἀνδρῆον ὧι ὄνομα Χαιρή|μων τὸ γένος Πάφιος, τιμᾶς ἀργυρίου μνᾶν πέντε | στατήρων δέκα, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευ|σε Χαιρήμων τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶ|μεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιέων ὅ κα θέληι καὶ ἀποτρέχων οἷς κα

θέληι. βεβαιωτὴρ κα|τὰ τὸν νόμον τᾶς πόλιος· Δαμοσθένης Ἄρχωνος. εἰ δέ | τις ἅπτοιτο Χαιρήμονος ἐπὶ καταδουλισσμῶι, βέβαι|ον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος ‖ Εὐκλῆς καὶ ὁ βεβαιωτὴρ Δαμοσθένης. εἰ δὲ μὴ παρέχοιν | βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν | νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | κύριοι ἐόντων συλέοντες Χαιρήμονα ὡς ἐλεύθερον ἐ|όντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ‖ ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄρχων, | Δρομοκλείδας καὶ οἱ ἄρχοντες Ἁγίων, Ἀναξανδρίδας, | Εὐκλῆς καὶ ἰδιῶται Τιμόκριτος, Μνασίας, Πολέμαρχος | Πολέμωνος, Ἄθαμβος Ἀβρομάχου.

In den *Anecd.*, von *Rang.* u. von *Lebas* ist nur der Anfang, Z. 1 bis mit *Θευ|ξενίου*, gegeben. — Freilasser ist der Archont *Εὐκλῆς*; auffällig, dass er selbst Z. 22 unter den Zeugen steht. Vgl. 2155. — Wegen *ἀνδρῆον* Z. 6 vgl. 1785, 4; 2020, 2; 2162, 6; 2174, 4. — *Χαιρήμων* setzt (wie *Φιλήμων*) ein Particip voraus: *χαιρήμενος*, vgl. *Ἄσμων* von *ἄσμενος* 1764, 8.

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2251 *Anecd.* 37c (= *Rang.* 932 u. = *Lebas* 919): *C.-B.* 59.

Ἄρχοντος Ξενοκ[ρίτου μηνὸς] Θεοξε|νίου, βουλευόντων [τὰν δευτέ]ραν ἑξά|μηνον Κλέωνος τοῦ [Κλεοδάμου], Καλλικράτεος τοῦ Διοδώρου, [γραμματεύο]ντος δὲ ‖ Μεγάρτα τοῦ Μελι[σσίωνος, ἐπὶ] τοῖσδε | ἀπέδοτο Δεξώνδας [Δάμωνος, συν]ευδοκεόντων καὶ τῶν υἱῶν [αὐτοῦ Δ]άμωνος καὶ | Ἀγάθωνος, τῶι Ἀπόλλ[ωνι τ]ῶι Πυθίωι | σῶμα ἀνδρεῖον ὧι ὄνομα [Παρ]νασσὸς τὸ ‖ γένος Σύρον, τιμᾶς ἀργυρίου μνᾶν πέντε, | καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευ|σε Παρνασσὸς τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάν|τα βίον, ποιέων ὅ κα θέληι καὶ ἀποτρέχων οἷς ‖ κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Δάμων Δεξώνδα. εἰ δέ τις ἐφάπτοιτο Παρνασσοῦ ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Δε|ξώνδας καὶ ὁ βεβαιωτὴρ Δάμων. ὁμοίως δὲ ‖ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντω συ|λέοντες Παρνασσὸν ὡς ἐλεύθερον ἐόντα | ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δί|κας καὶ ζαμίας. μὴ ἀπαλλοτριωσάτω δὲ Παρ|νασσὸς τὰ ὑπάρχοντα ἀπὸ Δεξώνδα καὶ τῶν ‖ υἱῶν κατὰ μηθένα τρόπον, κυριευέτω δὲ ὧ[(ν)] | κα ἔχηι Παρνασσὸς ἕως κα ζώηι καὶ μὴ

ἀφελέ|σθω μηθεὶς Παρνασσοῦ μηθέν, προστάταν | δὲ νεμέτω Δεξώνδαν καὶ τοὺς ἐγγόνους | Δεξώνδα. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος ‖ Ἄρχων καὶ οἱ ἄρχοντες Κλέων Κλεοδάμου, | Καλλικράτης, Μεγάρτας καὶ ἰδιῶται Λαιάδας, | Καλλίκων, Μικκύλος, Ἁβρόμαχος Μαντία, Κλεόδα|μος Καλλιγένεος, Διόδωρος Φιλάγρου, Πασίων Κλέ|ωνος.

In den *Anecd.*, von *Rang.* u. von *Lebas* ist nur der Anfang, nämlich *ἄρχοντος Ξενοκρίτου μηνὸς Θεοξενίου*, — und zwar ohne Lücke — gegeben. — Z. 3 st. *Κλευδάμου*, was 2166, 2; 2225, 5; 2226, 10 steht, hier *Κλεοδάμου* wegen Z. 30 eingesetzt. — Bürge ist der eine der Söhne. — Zu *μὴ ἀπαλλοτριωσάτω κτλ.* (Z. 23) vgl. 1684, 8. — Z. 25 *C.-B.* *ὧς | κα ἔχηι*, was ich bezweifele. Nicht *ὧν | κα ἔχηι*? Vgl. 1696, 13, *τά κα ἔχηι*. — Mit *προστάτας* Z. 28 vgl. 1726, 6; 1938, 17/18; 1951, 9; 2145, 11 *προϊστάμενος*; auch 2172, 10. — Der syrische Sclave h. *Παρνασσός*, also ist er in Delphi umgetauft worden (Pomtow Philol. 54, 367 Anm. 12); so oft, vgl. z. B. die Römerin *Νίκαια* 2116.

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2252 *Anecd.* 37 d (= *Rang.* 936 u. = *Lebas* 946): *C.-B.* 27.

Ἄρχοντος Δαμοστράτου μηνὸς Θεοξενίου, ἐπὶ τοῖσδε ἀ|πέδοτο Ἱέρων Θεοδότου, συνευδοκέοντος τοῦ υἱοῦ Θεο|δότου, τῶι θεῶι σῶμα γυναικεῖον ἆι ὄνομα Δημητρία, τιμᾶς ἀρ|γυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. βεβαιωτὴρ κα‖τὰ τὸν νόμον· Ζήνων Σωσίππου. παραμενέτω δὲ Δημητρία παρὰ Ἱέ|ρωνα, ἐάν τε ἐν Δελφοῖς κατοικῆι ἐάν τε ἐν ἑτέραι πόλει κρίνηι κατοι|κεῖν, ποιοῦσα τὸ ἐπιτασσόμενον πᾶν τὸ δυνατόν. εἰ δέ κα μὴ ποιῆι τὸ | ἐπιτασσόμενον ἢ μὴ μένηι παρὰ Ἱέρωνα ἢ συνακολουθῆι ἐν οὓς ἂν τόπους Ἱέρων αἱρῆ⟨ι⟩ται, κύριος ἔστω Ἱέρων ἐπιτιμέων καὶ κολάζων ‖ ὧι κα προαιρῆ⟨ι⟩ται τρόπωι. ἐπεὶ δέ κά τι περὶ Ἱέρωνα γένηται ἀνθρώ|πινον, ἀποτρεχέτω Δημητρία ἐν οὓς ἂν κρίνηι τόπους, ἐλευ|θέρα οὖσα καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα χρόνον. | εἰ δέ τις καταδουλίζηται Δημητρίαν, κυρία ἔστω αὐσαυτὸν | συλέουσα καὶ ἄλλος ὁ παρεντυχών, καὶ ὁ βεβαιωτὴρ βεβαι‖ούτω τῶι θεῶι κατὰ τὸν νόμον. μάρτυροι· ὁ ἱαρεὺς Ἀνδρόνι|κος καὶ τοὶ ἄρχοντες Γλαῦκος, Ἄθαμβος, Σώξενος, ἰδιῶται | Δρομοκλείδας, Τιμοκλῆς.

In den *Anecd.*, von *Rang.* u. von *Lebas* ist nur der Anfang, Z. 1 bis *ἀπέδοτο*, gegeben. — Zur ggr. Form *Δημητρία* vgl. 1857; 1877; 1922, 5; 2121, 4; 2181, 24. — Bemerkenswert *ἐάν τε — ἐάν τε* (Z. 6) neben *εἰ δέ κα* (Z. 7), dann *ἐν οὓς ἂν* (Z. 8, 11) und *ὧι κα* (Z. 10). So auch *ἂν* beim Relativ 1766, 7; 2032, 9. — *C.-B.* Z. 9 *αἵρηιται*, 10 *προαίρηιται*;

andre Beispiele für solche Schreibung 1819, 9; 1751, 1; 2072, 26 u. a. — Im Sätzchen Z. 14/15 fehlt das Objekt, wie so oft 1888, 12; 2012, 5. — ἐν c. acc. Z. 9 und 11 wie 1796, 5; 1899, 13; 2072, 20; 2084, 9.

Zeit. Priesterschaft VI (etwa 150—140).

2253 *Anecd.* 37 e (= *Rang.* 933 u. = *Lebas* 918): *C.-B.* 60.

Ἄρχοντος Ξενοκρίτου μηνὸς Δαιδαφορίου, | ἀπέδοτο Σωτίμα Πολίτα τῶι Ἀπόλλωνι τῶι | Πυθίωι, συνευδοκεόντων καὶ τῶν υἱῶν αὐ|τᾶς Διονυσίου καὶ Πολίτα, σῶμα γυναικεῖον || οἰκογενῆ ᾇ ὄνομα Ἀλκυονίς, τιμᾶς ἀργυρίου | μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει. βεβαιωτῆ|ρες κατὰ τοὺς νόμους τᾶς πόλιος· Διονύσι|ος καὶ Πολίτας Ἀσάνδρου. καθὼς ἐπί|στευσε Ἀλκυονὶς τῶι θεῶι || τὰν ὠνάν, ἐφ' ᾧτε ἐλευθέρα εἶ|μεν καὶ ἀνέφαπτος ἀπὸ πάντων | τὸν πάντα βίον, ποιέουσα ὅ κα θέλῃ | καὶ ἀποτρέχουσα οἷς κα θέλῃ. εἰ δέ τις | ἐφάπτοιτο Ἀλκυονίδος ἐπὶ καταδουλι||σμῶι, κύριος ἔστω ὁ παρατυχὼν συλέων ὡς | ἐοῦσαν ἐλευθέραν ἀζάμιος ὢν καὶ ἀνυπόδικος | πάσας δίκας καὶ ζαμίας. μάρτυροι· ὁ ἱερεὺς τοῦ | Ἀπόλλωνος Ἄρχων καὶ τῶν ἀρχόντων Γενναῖος, | Σώξενος, Σωσίπατρος καὶ ἰδιῶται Τιμόκριτος, Ἀν||τιγένης Ἄγωνς, Καλλείδας Εὐκλείδα.

In den *Anecd.*, von *Rang.* u. von *Lebas* ist nur der Anfang, nämlich *ἄρχοντος Ξενοκρίτου μηνὸς Δαιδαφορίου ἀπέδοτο*, gegeben. — Z. 18 auffällig *τῶν ἀρχόντων* statt *οἱ ἄρχοντες*. — Nach Z. 8 h. der Mann der *Σωτίμα Ἄσανδρος*.

Zeit. Priesterschaft VIII (in der Zeit von 140—100).

2254 *C.-M.* 9: *C.-B.* 90.

Ἄρχοντος Πεισιστράτου μηνὸς Ἰλαίου, βουλευόντων Διοδώρου, Ἁγίω|νος, Ἀγησιλάου, Φίλωνος, ἀπέδοτο Γάϊος Ἀπ|πώνιος Γαΐου Διονύσιος τῶι Ἀπόλλωνι κοράσιον ᾇ ὄνομα Φιλὼ ἐπ' ἐλευθερίαι, τιμᾶς ἀργυρίου στατήρων | δεκαπέντε, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς || πόλιος· Καλλίας Εὐκλείδα. καθὼς ἐπίστευσε Φιλὼ τῶι θεῶι τὰν ὠνάν, ἐφ' ᾧτε ἐλευθέραν εἶμεν | καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα βίον. παραμινάτω δὲ Φιλὼ ἐν τᾶι τρο|φεᾶι Συμμάχωι καὶ Σωσικρατείαι ποιοῦσα τὸ ἐπιτασσόμενον πᾶν τὸ δυνατόν. | κύριοι ἔστωσαν ἐπιτιμέοντες τρόπωι ᾧι κα θέλωντι. εἰ δέ τις ἐφάπτοιτο | ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχέτω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος καὶ ὁ βε||βαιωτήρ. κύριος δὲ ἔστω καὶ ὁ παρατυχὼν συλέων ἐλευ-

θέραν ἀζάμιος ὢν καὶ ἀνυπόδικος. | μάρτυροι· οἱ ἱερεῖς Ἐμμενίδας, Λαιάδας· Πάσων, Διόδωρος, Σάτυρος.

C.-M. schrieben nur ab: *ἄρχοντος Πεισιστράτου μηνὸς Ἀλκίου*; letztes Wort also falsch. — Ungewöhnlich ist der Zusatz *ἐν τᾶι τροφεᾶι* Z. 6; das Wort selbst ein *ἅπαξ λεγόμενον*, soviel ich sehe. — Asyndeton zu Anfang von Z. 8 wie 1975, 13. — Der eigentümliche Fall, dass die *παραμονά* Andern zu leisten ist, hat z. B. in 1694, 5 eine Parallele. — Der Zeuge *Διόδωρος* ist gewiss der Buleut. Die Inschrift stammt aus demselben Jahre wie No. 2192 und 2193. — Pomtows Vermutung *Καλλί(δ?)ας* Z. 5 (u. 2170, 6; 2171, 23) — s. Rh. Mus. 49, 608 — harrt noch der Bestätigung durch neue Funde.

Zeit. Priesterschaft XV (c. 50 vor Chr.).

2255 *C.-M.* 10: *Pomtow*, Jhrb. 35, 541. *C.-B.* 77.

Θεὸς τύχαν ἀγαθάν. | ἄρχοντος Δωροθέου μηνὸς Ἠλαίου, ἀπέδο|το Δάμων Δαμοκράτεος τῶι Ἀπόλλωνι | τῶι Πυθίωι ἐπ' ἐλευθερίαι σῶμα γυ‖ναικεῖον οἰκογενὲς ἇι ὄνομα Νίκαια, | τιμᾶς ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τιμὰν | ἀπέχει πᾶσαν, καθὼς ἐπίστευσε Νί|καια τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι ἐλευθέ|ρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων ‖ τὸν πάντα βίον, ποιοῦσα ὅ κα θέλη καὶ | ἀποτρέχουσα οἷς κα θέλη. βεβαιωτῆ|ρες κατὰ τοὺς νόμους τᾶς πόλιος· | Ξενόκριτος καὶ Δάμων οἱ Μένητος. | εἰ δέ τις ἐφάπτοιτο Νικαίας ἐπὶ κατα‖δουλισμῶ, βέβαιον | παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε | ἀποδόμενος καὶ ο(ἱ) βεβαιωτῆρ(ες), καὶ | ὁμοίως οἱ παρατυγχάνοντες κύρι|οι ἐόντων συλέοντες Νίκαιαν ὡς ἐλευθέ‖ραν οὖσαν ἀζάμιοι ὄντες καὶ ἀνυπόδι|κοι πάσας δίκας καὶ ζαμίας. μάρτυ|ροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Αἰακίδας | Βαβύλου, Ἐμμενίδας Πάσωνος καὶ | οἱ ἄρχοντες Βαβύλος, Ἁγίων, Πύῤῥος, ‖ Δάμων καὶ ἰδιῶται Δωρόθεος, Σώ|στρατος, Γοργίλος, Κλέων, Πάτρων, | Φιλόνικος, Πολύκλειτος.

